Tu non ædificabis mihi domum.] Domum orationis conſtruere Deus Dauidē non permiſit, docens humanitatem omnes, quotquot hoc in loco Deum erant inuocaturi. Nam qui vident prophetā Dauidi, propter cœdes, quantumuis iuſtas, nō concedere, vt Deo ædificet, puras manus habere docentur. Deus tamē nihilominus Dauidem elegit, qui erga mulieres continenter vixit, imperiū intrepidè geſſit, & ante hanc gratiam ei collatam, iuxta legem, cultum diuinū exercuit, intentus orationi, pſalmodiæ diuinæ, dilectioni, & ſalutis totius populi magnam curam, rationemq́;, habuit. Præterea erga amicos fidus fuit, gratus erga benefactores, non crudelis, immitis in eos qui iniuria aliqua eum affeciſſent. Præterea ſi quiſquam alius vnquā, certè hic pauperes amplexatus. Ob quas res, homo ſecundū cor Dei eſſe dicitur. Cæterùm, ſi quando, humanum aliquid paſſus, errauit, caſtiga-

uit

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

κειν τὸ ἔργον θεῷ. ὅπερ καὶ αὐτὸς, προφήτης ὤν, ἠγνόησεν ὁ Δαβίδ.

Οὐ σὺ οἰκοδομήσεις μοι οἶκον.] Οἶκον προσευχῆς κατασκευάζειν οὐκ ἐᾷ τὸν Δαβίδ· τοὺς ἐν αὐτῷ προσεύχεσθαι μέλλοντας φιλανθρωπίαν διδάσκων. οἱ γὰρ τὸν προφήτην ὁρῶντες, οὐκ ἐπιτραπέντα τὴν οἰκοδομὴν, διὰ τὸ φόνων ἅψασθαι, εἰ καὶ δικαίως, καθαρὰς ἔχειν ἐπαιδεύοντο τὰς χεῖρας. ὅλως δὲ προείλετο τὸν Δαβὶδ ὁ θεὸς, περὶ μὲν τὰς γυναῖκας ἀρχαίως, βεβιωκότα, καὶ τῷ πράγματι χρώμενον ἀδεῶς, πρὸ τοῦ χάριτος τῆσδε κατὰ νόμον λατρείας, εὐχῶν τε, καὶ ψαλμῳδίας, καὶ τῆς περὶ θεὸν ἀγάπης, τῆς τε τοῦ λαοῦ σωτηρίας, πολλὴν πεποιημένον πρόνοιαν. καὶ πρὸς μὲν φίλους πιστὸν, εὐγνώμονα δὲ πρὸς εὐεργέτας, καὶ περὶ τοὺς ἀδικοῦντας οὐ χαλεπόν. ἔτι δὲ καὶ φιλόπτωχον, εἰ καί τις ἄλλος πώποτε. ὧν ἕνεκα, κατὰ τὴν καρδίαν εἶναι λέγεται τοῦ θεοῦ. εἰ δέ που, θνητὸς ὤν, ἐσφάλη, ἐμέμψατο μὲν ὁ

δεσπότης, οὐκ ἀπεστράφη δὲ τὸν πλὴν ὀλίγων καλόν. ὡς γὰρ ἐν ζυγῷ δικαίῳ πλείονα πολλῷ τῶν ἐλαττωμάτων εὗρε τὰ κατορθώματα.

Καὶ κατασκηνώσει καθ' ἑαυτόν.] Κατὰ τὸν θεῖον γὰρ πολιτευόμενος νόμον, τῶν ἄλλων ἐθνῶν κεχώριστο.

Καὶ ἀπὸ τῶν ἡμερῶν ὧν ἔταξα κριτάς.] Ἐπειδὴ ἐν τῷ καιρῷ τῶν κριτῶν, ποτὲ μὲν Ἀμμωνίταις καὶ Μωαβίταις, ποτὲ δὲ Μαδιηναίοις καὶ ἀλλοφύλοις ἐδούλευον, ὑπέσχετο αὐτοῖς ἀκέραιον σώζειν βασιλείαν, καὶ τῶν συχνῶν τούτων ἀπαλλάξειν μεταβολῶν.

Καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως τὸν αἰῶνα.] Καὶ ἐν τῇ τετάρτῃ τῶν Παραλειπομένων εἴρηται παραπλήσια, δι' ὧν σαφῶς ἡ περὶ Χριστοῦ παρίσταται προφητεία. διόπερ ἔλεγον οἱ Ἰουδαῖοι Χριστῷ, ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι Χριστὸς μένει εἰς τὸν αἰῶνα, ᾧ ἡτοίμαζε τὸν θρόνον οἰκοδομή-

uit eum Dominus, non auerſatus eſt, bonum alioqui exiſtentem, paucis exceptis; vt qui, ad iuſtam ſtateram exigens, plura benefacta, quàm malefacta, reperit.

Et habitabit ſecundum ſeipſum.] Nam cum iuxta legem Domini regnum adminiſtraret, à gentibus ſeparatus fuit.

Ex diebus quibus conſtitui iudices, &c.] Quandoquidem temporibus Iudicum nunc Ammonitis, & Moabitis, nunc Madianitis, & alienigenis, ſubiecti erant, promiſit ſe ipſis regnum integrum ſeruaturum, & liberaturum eos à continuis illis mutationibus.

Et erigam thronum eius vſque in ſempiternum.] In libris Paralipomenon eadem ferè habentur, quibus diſertè prophetia de Chriſto proponitur. Hinc Iudæi dicebant ad Chriſtum: Ex lege audiuimus, quod Chriſtus maneat in æternum, cui præparauit thronum, ædificanti

domum

domum ex viuis & ſpiritualibus lapidibus, in ſanctum ſacerdotium, nomini patris, & illius thronum Deus erexit vſque in ſempiternum. Apoſtolus ex præſenti etiam loco illa deſumpſit ad Hæbræos. Ego ero in patrem, & ipſe erit mihi in filium. Similiter illa etiam, quæ de throno ſempiterno leguntur. Non enim conuenit, vt de Solomone hæc omnia dicta eſſe intelligamus. quomodo enim æternum thronus ille erigitur? Si dicis, poſterorum ſucceſſione, hæc ante Solomonem Dauidi dicta oportuit. Deinde quomodo impleretur illud: Multis diebus ſedebunt Iſraelitæ, ſine rege, ſine principe. Si enim thronus verè tunc erectus eſſe dici non poteſt, quomodo dicit, in ſempiternum? Si de Chriſto hæc accipienda ſunt, quomodo Chriſto hæc adaptari poſſunt: &, ſi venerit iniquitas eius, caſtigabo eum in virga virorum? An non, quemadmodum ſcriptura dicit, eum ſuſcepta noſtra infirmitate, laborauiſſe, famem,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

σαντι οἶκον τὸν ἐκ λίθων ζώντων πνευματικῶν, εἰς ἱεράτευμα ἅγιον τῷ ὀνόματι τοῦ πατρός. καὶ τούτου τὸν θρόνον ἀνώρθωσεν ἕως εἰς τὸν αἰῶνα ὁ θεός. καὶ ὁ Ἀπόστολος δὲ ἐκ τῶν προκειμένων εἴληφε ῥητῶν ἐν τῇ πρὸς Ἑβραίους τό, ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. καὶ τὰ περὶ τοῦ διαιωνίζοντος θρόνου. πάντα γὰρ ἐπὶ τοῦ Σολομῶντος οὐχ ἁρμόζει λεχθῆναι. πῶς γὰρ εἰς αἰῶνα ὁ τούτου θρόνος ἀνώρθωται; εἰ γὰρ τῇ διαδοχῇ τῶν ἐκγόνων ἐρεῖς, ἔδει τοῦτο περὶ Σολομῶντος εἰρῆσθαι Δαβίδ. δεύτερον, πῶς πληροῦται τό, ἡμέρας πολλὰς καθήσονται οἱ υἱοὶ Ἰσραήλ, οὐκ ὄντος βασιλέως, οὐδὲ ὄντος ἄρχοντος. εἰ γὰρ ἀληθὲς οὐκ ἔσται τότε ἀνωρθωμένος, πῶς οὖν εἰς τὸν αἰῶνα; ἀλλ' εἰ περὶ Χριστοῦ ταῦτα, πῶς ἁρμόσει τό, καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ, ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν. μήποτε οὖν, ὥσπερ ἀναλαμβάνων τὰ ἡμέτερα πάθη, φησὶν αὐτὸς πεπονθέναι, καὶ πεπεινηκέναι, καὶ δεδιψηκέναι; καὶ

Q φέρειν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

φέρειν εἴρηται τὰς ἀσθενείας ἡμῶν, καὶ ἐνδύσασθαι τὰς ἀρχὰς, καὶ ἐξουσίας, ἵνα ὕστερον αὐτὰς ἐκδυσάμενος, ἐν παῤῥησίᾳ θριαμβεύσῃ ἐν τῷ ξύλῳ; καὶ ἐν τῷ εἰκοστῷ πρώτῳ ψαλμῷ τὸ, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. ἐν δὲ τῷ ἑξηκοστῷ ὀγδόῳ, ὁ ζῆλος τοῦ οἴκου σου καταφάγεταί με. λέγει δὲ καὶ ὁ θεὸς, σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπό σου οὐκ ἀπεκρύβησαν. οὕτως τὸ, καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ. καίτοι οὐδὲ ἐνταῦθα εἴρηται, ἐὰν ἀδικήσῃ· ἀλλ', ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ. ἡμεῖς δὲ οἱ αὐτοῦ, καὶ ἡμεῖς ἡ ἀδικία, πρὸς οὓς εἴρηται, ἦτέ ποτε σκότος· καὶ ἐπεὶ ὑπὲρ ἡμῶν ἀπέθανεν, δύναται ἐπὶ τοῦτο ἀναφέρεσθαι τὸ, καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ, καὶ ἐξελέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν, καὶ ἐν ἁφαῖς υἱῶν ἀνθρώπων. ὅπερ αὐτὸν, ὡς φύσει θεὸν, καὶ ὡς ἀναμάρτητον κατὰ τὸ ἀνθρώπινον, ἀλλότριον ἀνδρῶν, καὶ υἱῶν ἀνθρώπων, ὑπέφηνεν.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

mem, & ſitim paſſum eſſe? Item quemadmodum dictum eſt, tuliſſe infirmitatẽ noſtram, & induiſſe principatus, & poteſtates, vt poſtea, illis exutus, multa fiducia in ligno crucis triumpharet? Et Pſalmo 21. Longè à ſalute mea verba delictorum meorum. Pſalmo 68. Zelus domus tuæ comedit me. Dicit etiam; noſti, ô Deus, imprudentiam meam, & peccata mea à te non ſunt abſcondita. Ita illud etiam, ſi venerit iniquitas eius. Neque verò hic dictum eſt, ſi iniquè fecerit; ſed, ſi venerit iniquitas eius. Porrò nos ipſius ſumus, nos ſumus iniquitas, ad quos dictum eſt, eratis aliquando tenebræ. &, quandoquidem pro nobis mortuus eſt, de illo hoc dici poteſt: Si venerit iniquitas eius, arguam eum virga virorum, & plagis filiorum hominum. Id quod eum (vtpote natura Deum, & iuxta humanam naturam nulla peccati labe pollutum) diuerſum ab alijs viris, & filijs hominum, eſſe oſtendit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et parua viſa ſunt hæc in conſpectu tuo, mi Domine.] Omnipotentiam Domini docens, admiratus ſum, inquit, excellentiam promiſſionum, meipſum reſpiciens. Parua enim hæc ſunt, ſi cum tua potentia conferantur.

CAP. VIII.

Dimenſus eſt funiculo, &c.] Tanta captiuorum multitudo erat, vt eos numerare non permitteret. Iuſſit igitur pronos in terram inclinari, &, fune ſuper eos extento, in tres partes eos diuiſit; &, duabus partibus iugulatis, tertiam conſeruauit. Aquila verò, ſeparatum frenum (ὑδραγωγίᾳ) deductionis aquarum, expoſuit.

Et diſſoluit Dauid omnes currus, &c.] Diuina enim lex præcepit, ne multiplices tibi equos. Ne ſcilicet in equis, ſed in potentia Dei, ſalutis ſuæ præſidium collocarent.

Rex

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ κατεσμικρύνθη ταῦτα ἐνώπιόν σου κύριέ μου.] Τὸ παντοδύναμον τοῦ δεσπότου διδάσκων, ἐθαύμαζα, φησι, τὴν τῶν ἐπηγγελμένων ὑπερβολὴν, εἰς ἐμαυτὸν ἀποβλέψας. σμικρὰ γὰρ ταῦτα, τῇ σῇ δυνάμει παραβαλλόμενα.

ΚΕΦ. Η΄.

Καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίῳ.] Τοσοῦτον ἦν τῶν ζωγρηθέντων τὸ πλῆθος, ὡς μὴ ἀναχέσθαι τούτους ὑποβαλεῖν ἀριθμῷ. ἐκέλευσε γὰρ αὐτοὺς ἐπὶ τῆς γῆς κατακλιθῆναι πρηνεῖς· καὶ σχοινίον ἐπ' αὐτῶν διατείνας, τριχῇ τούτους ἐμέρισε. καὶ τὰς δύο διαφθείρας μερίδας, τὴν μίαν ἐζώγρησεν. Ἀκύλας δὲ, τὴν ἀφωρισμένην, χαλινὸν ὑδραγωγίας ἐξέδωκεν.

Καὶ παρέλυσεν Δαβὶδ πάντα τὰ ἅρματα.] Ὁ θεῖος γὰρ ἔλεγε νόμος, οὐ πληθυνεῖς σεαυτῷ ἵππον· ἵνα μὴ τούτοις, τῇ δὲ θείᾳ θαῤῥῶσι δυνάμει.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Βασιλεὺς Ἡμαθ'.] Ἀκύλας, τὴν ἐπιφάνειαν τῆς Συρίας.

Ἐν πάσῃ τῇ Ἰουδαίᾳ ἔθηκεν ἐστηλωμένους. [Πεπλήρωται νῦν τὸ πρὸς Ἰακὼβ ἐπαγγελθὲν ὑπὸ Ἰσαάκ. γίνου γὰρ, ἔφη, κύριος τοῦ ἀδελφοῦ σου· παταξας γὰρ, ὑπόφορον τὴν Ἰδουμαίαν ἐποίησεν. ἐστηλωμένους δέ φησιν τοὺς ἐγκαταστάντας φρουροὺς, οὓς νῦν τινες ἐγκαθέτους φασίν.

Ἐπὶ τῶν ὑπομνημάτων.] Ἀκίλας, ἀναμιμνήσκων.

Καὶ Ἀβιμέλεχ υἱὸς Ἀβιάθαρ.] Γραφικὸν ἁμάρτημα τοῦτό φασιν, ἀνάπαλιν γὰρ Ἀβιάθαρ υἱὸς Ἀχιμέλεχ.

Καὶ ὁ Φιλετθὶ, καὶ ὁ Χερηθί.] Τοὺς σφενδονιστὰς, καὶ τοὺς τοξότας, οὕτω καλεῖ.

ΚΕΦ. Ι'.

Τοὺς μανδύας.] Ἢ τὰ καλούμενα Ἀρκαδίκια, ἢ τὰ μαντία. ὁ δὲ Ἀκύλας, χιτῶνας φησίν.

ΚΕΦ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Rex Emath.] Aquila exponit, ἐπιφαύσαν, apparitionem, vel aduentum Syriæ.

In omni Idumæa diſpoſuit præſidia.] Nunc impletum eſt illud , quod Iſaac Iacobo prædixit ; eſto, inquit, dominus fratris tui. Deuictis enim Idumæis, præſidia impoſuit. Præſentes autem præſidiarios, quos nunc quidam ἐγκαθέτους appellant , ipſe ἐστηλωμένους nominauit.

A commentarijs.] Aquila habet, ἀναμιμνήσκων, id eſt, reuocans in memoriam.

Et Abimelech filius Abiathar.] Vitium librarij hoc eſſe dicunt. Nam è contra Abiathar filius eſt Abimelechi.

Philethi, & Cherethi.] Iaculatores, & ſagittarios, hoc nomine appellat.

CAP. X.

Præſcidit veſtes ipſorum.] Vel eas, quas Arcadicas nominat; vel, τὰ μανδύα. Aquila interpretatur, χιτῶνας.

CAP. XI.

Si bellum inualeſcit.] Alia expoſitio habet, *& in pacem belli.*

CAP. XII.

Vt mactaret viro hoſpiti.] Prauam cogitationem hoſpitem appellat, vt quæ forinſecus nobis immittatur, & non natura nobis inſit.

Vir, qui fecit hoc, dignus eſt morte.] Hoc quidem modum excedit, reddere verò quadruplum, congruit cum lege.

Vt tibi eſſet in vxorem.] Hac ratione obſcurè ſignificatur, Deum plus hoc coniugio offenſum eſſe, quàm adulterio, quod hoc præceſſit. Adulterium enim, cupiditate victus commiſit; coniugium autem, deliberationis aſſenſum habet. Cumque propter adulterium, & homicidium, plangere deberet, ipſe, matrimonio contra leges contracto, cum ea vitæ conſuetudinem habuit.

Tollam

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΚΕΦ. ΙΑ΄.

Καὶ εἰ ὑγιαίνει ὁ πόλεμος.] Ἄλλη ἔκδοσις, καὶ εἰς εἰρήνην τοῦ πολέμου.

ΚΕΦ. ΙΒ΄.

Τοῦ ποιῆσαι τῷ ἀνδρὶ τῷ ξένῳ.] Ξένον καλεῖ τὸν πονηρὸν λογισμὸν, ὡς ἔξωθεν ἡμῖν προσβάλλοντα, καὶ μὴ κατὰ φύσιν ὄντα ἐν ἡμῖν.

Ὅτι ἄξιος ὁ ἀνὴρ, ὁ ποιήσας τοῦτο, θανάτου.] Τοῦτο μὲν, ὑπερβολικόν· τὸ δὲ ἀποτῖσαι τετραπλασίονα, κατὰ νόμον.

Εἶναί σοι εἰς γυναῖκα.] Αἰνίττεται ὁ λόγος, ὅτι πλέον ὁ θεὸς ἐχαλέπηνεν ἐπὶ τῷ γάμῳ, ἢ τῇ περὶ τούτου μοιχείᾳ. τὴν μὲν γὰρ, πόθῳ καρωθεὶς ἐξειργάσατο· ὁ δὲ, λογισμοῦ συγκατάθεσιν ἔχει. δέον γὰρ ἐπὶ μοιχείᾳ, καὶ φόνῳ, θρηνεῖν, γάμῳ παρανόμῳ συνήνεγκε.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ λήψομαι τὰς γυναῖκας, καὶ δώσω τῷ πλησίον σου.] Ὅμοιον τῷ, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας. τοῦ θεοῦ δηλοῦν τὴν συγχώρησιν. ὅπου γε καὶ Ἰακὼβ τὴν Σίκιμα παρὰ γνώμην αὐτοῦ καταστραφεῖσαν ὑπὸ Συμεὼν καὶ Λευὶ τῶν παίδων, οἷς ἐπηράσατο, κληρονομίαν ἀφιεὶς Ἰωσὴφ, ἣν ἔλαβόν, φησι, τῷ τόξῳ μου, τὸ τῶν υἱῶν αὐτοῦ, καὶ παρὰ γνώμην γεγονὸς, οἰκειούμενος ἔργον.

Οὐ μὴ ἀποθάνῃς.] Διπλοῦν κατὰ τὸν νόμον ὤφειλε θάνατον, ἐπὶ μοιχείᾳ, καὶ φόνῳ. τὸν δὲ ἡ τῆς ἁμαρτίας ὁμολογία παρήνεγκεν.

Παρώργισας τοῖς ἐναντίοις κύριον.] Ἀκύλας σαφέστερον, παρώξυνάς, φησιν, τοὺς ἐχθροὺς κυρίου. γυμνωθεὶς γὰρ τῆς θείας κηδεμονίας, παρεσκεύασε τοὺς ἀλλοφύλους νικᾶν, καὶ μέγα φρονεῖν κατὰ τοῦ τῶν ὅλων θεοῦ. προσήλυτος δὲ Οὐρίας. Χετταῖον γὰρ αὐτόν φησιν ὁ θεός.

Tollam vxores tuas, & dabo eas tuo propinquo.] Simile eſt huic, Tradidit eos Deus in cupiditates ignominiæ. Dei permiſſionem ſignificans. Quandoquidem etiam Iacob de Sichem, contra animi ſui ſententiam à Simeone & Leui filijs euerſa, quos deuouit, relicta hæreditate ipſi Ioſepho, ita loquitur, quam ceperunt arcu meo. Facinus filiorum ſuorum, contra voluntatem ſuam editum, ſibi aſſcribens.

Non morieris.] Duplici morte, ſecundum legem, puniendus erat. Primùm, propter adulterium; deinde, propter homicidium. Cæterum confeſſio peccatorum, pœnam tranſtulit.

Aduerſarijs (παρώργιζας) *irritaſti Dominum.*] Aquila planius dicit, παρώξυνας, exacuiſti hoſtes Domini. Dei enim procuratione deſtitutus, effecit, vt alienigenæ victores euaderent, & ſuperbirent contra Vniuerſi conditorem. Vrias autem proſelytus. Chettæum enim Deus appellat.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et filius tuus, qui tibi natus eſt, morietur.] Filius enim ſuperſtes, tranſgreſſæ legis argumentum erat. Deus itaque, pij regis curam gerens, ſuſtulit eius opprobrium.

Iedidia.] Aquila, *propter Dominum*. Symmachus, *ſegregatum in regem.*

Combuſſit ſuper ſerras.] Non crudelitatis, ſed iuſtæ pœnæ, opus fuit. Ammonitæ enim Iſraelitarum, quemadmodum legimus, dextros oculos eruebant. Alias quoque eiuſmodi crudelitates exercuiſſe, notum eſt ex prophetis.

CAP. XIII.

Ionadab, vir erat valde prudens.] Atqui iniquum, & iniuſtum, dedit conſilium. Laudat prudentiam, etſi male ea vſus ſit, (quemadmodũ etiam ſerpentem ſcriptura ſapientiſſimum appellat) quamobrem mali conſilij pœnas perſoluit. Nam videbas, inquit, furem, & currebas cum eo, & cum adultero partem tuam ponebas.

Tunica

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ ὁ υἱός σου, ὁ τεχθείς σοι, θανάτῳ ἀποθανεῖται.] Ἔλεγχος γὰρ τῆς παρανομίας ἐγίνετο ζῶν. εὐσεβοῦς οὖν βασιλέως κηδόμενος ὁ θεός, τὸ τούτου παρήνεγκεν ὄνειδος.

Ἰεδιδία.] Ἀκύλας, ἕνεκεν κυρίου: Σύμμαχος, εἰς βασιλέα ἀφωρισμένον.

Καὶ διέπρισεν ἐν πρίοσιν.] Οὐκ ὠμότητος τοὔργον, ἀλλὰ δικαίας ποινῆς. τῶν γὰρ Ἰσραηλιτῶν, ὡς ἔγνωμεν, Ἀμμωνῖται τοὺς δεξιοὺς ἐξώρυττον ὀφθαλμούς. καὶ τὰς ἄλλας δὲ τούτων ὠμότητας οἱ προφῆται διδάσκουσι.

ΚΕΦ. ΙΓ΄.

Καὶ Ἰωνάδαβ ἀνὴρ φρόνιμος σφόδρα.] Καί τοι παράνομα συνεβούλευσεν. ἐπαινεῖ οὖν τὰς φρένας, εἰ καὶ κακῶς ἐκεῖνος αὐταῖς ἐχρήσατο, ὡς καὶ τὸν ὄφιν φρονιμώτατον φησιν ἡ γραφή. τοιγαροῦν καὶ τῆς κακῆς συμβουλῆς ἔτισε δίκας. εἰ ἐθεώρεις γάρ, φησι, κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχῶν τὴν μερίδα σου ἐτίθεις.

Χιτῶν ἀστραγαλωτός.] Σύμμαχος, χειρίδωτος. Ἀκύλας, καρπωτός. ἀντὶ τοῦ καρποὺς ἐνυφασμένους ἔχων. οἱ νῦν δὲ αὐτὸν καλοῦσι πλουμαρικόν. ὁ δὲ Ἰώσηπος, τὸν μέχρι τῶν ἀστραγάλων διήκοντα.

Πρὸς Θολομμί.] Πρὸς τὸν πάππον ἀπέδρα, τὸν πρὸς μητρός. Μααχὰ γάρ, ἡ μήτηρ αὐτοῦ, θυγάτηρ ἦν τοῦ Θολομμὶ, ὃς τῆς Γεσσὶρ ἐβασίλευεν.

ΚΕΦ. ΙΔʹ.

Καὶ θανατώσομεν αὐτὸν, ἀντὶ τῆς ψυχῆς τοῦ ἀδελφοῦ αὐτοῦ.] Αἰνίττεται τὸν Δαβίδ, μήτε τὸν Ἀμμὼν κολάσαντα, μήτε τοῦ Ἀβεσσαλὼμ τὴν ἀθυμίαν ἀποσκεδάσαντα, ἀνηκέστου δὲ τοῦ πράγματος γεγονότος διακενῆς ὀργιζόμενον.

Καὶ ἐκ τοῦ παρελθεῖν τὸν βασιλέα τὸν λόγον τοῦτον.] Πῶς δύνασαι, φησι, τὸν υἱόν μου τῆς σφαγῆς ἀπαλλάξαι, μὴ ἐπαναγαγὼν σου τὸν υἱόν; ἐκεῖνο γάρ, φησιν, ἔσται τούτου

παρά-

Tunica talaris.] Symmachus, χειριδωτός, manuleata. Aquila, καρπωτὸς, manuleata, vel variegata, pro eo quod eſt, fructus intextos habens. Hodie plumaricon appellant. Ioſephus, ad talos vſque demiſſam nominat.

Ad Tholmi.] Ad auum maternum profugit. Maach enim, mater ipſius, fuit filia Tholmi, qui imperium tenuit in Geſſur.

Cap. XIV.

Et occidamus eum, pro anima fratris ſui.] Latenter innuit Dauidem, qui neque de Ammone pœnas ſumpſit, neque Abſolonis mœſtitiam depulit, nunc, peracta re, quæ mutari non poſſit, fruſtra iraſci.

Vt verteret faciem ſermonis huius.] Quomodo, inquit, potes filium meum à cœde liberare, cum filium tuum non reducas? hoc enim illius rei, inquit, erit exemplum.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Si filium non reducas, tribus, idoneam habentes cauſam, tui filij fugam, tibi contradicturæ ſunt. Caue igitur, ne populo Domini talem anſam obloquendi dederis. Deinde, de morte Abſolonis regem conſolatur. Quemadmodum enim aqua effuſa non colligitur, ita iam mortuus non reſurget. Cur igitur ſuperſtite etiam priuari contendis?

Vt facies circumdaretur.] Directè inquit, ſupplicare non licebat, vnde ſuggeſſit mihi, illorum verborum circuitione opus eſſe, vt in ficto caſu, proprium cernens, eam, quam mihi medelam adhibere voluiſti, tibi ipſi adhibeas.

CAP. XV.

Reduc arcam Domini in oppidum.] Quandoquidem religioſus, & propheta erat, intelligebat, in quantum periculum, arca relicta, in pœnam tranſgreſſorum legis, incidiſſet. Illi enim è medio ſublati erant, ipſa arca relicta fuit captiua. Hæc

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

παράδειγμα. εἰ δὲ μὴ, ἀντιλέξουσιν οἱ φυλέται, εὔλογον ἔχοντες αἰτίαν, τοῦ σοῦ παιδὸς τὴν φυγήν. μὴ δῷς οὖν, φησὶ, τῷ λαῷ τοῦ κυρίου τοιαύτην ἀντιλογίας πρόφασιν. εἶτα περὶ τοῦ τεθνηκότος τὸν βασιλέα ψυχαγωγεῖ. ὡς γὰρ ὕδωρ ἐκχυθὲν οὐ συνάγεται, οὕτως οὐκ ἀναστήσεται τεθνηκώς. τί οὖν καὶ τοῦ ζῶντος ἀποστερηθῆναι φιλονεικεῖς;

Ὅπως κυκλώσῃ τὸ πρόσωπόν σου.] Ἐξ εὐθείας, φησὶν, οὐκ ἦν ἱκετεῦσαί σε. ὅθεν ὑπέθετό μοι χρήσασθαι τῷ κύκλῳ τῶν λόγων τούτων, ἵνα ἐν τῷ πεπλασμένῳ πάθει τὸ οἰκεῖον ἰδὼν, ἣν ἔμελλες ἐπιτεθεῖναι θεραπείαν ἐμοὶ, ταύτην ἐπιθῇς σεαυτῷ.

ΚΕΦ. ΙΕ´.

Ἀπόστρεψον τὴν κιβωτὸν θεοῦ εἰς τὴν πόλιν.] Καὶ εὐσεβὴς ὢν, καὶ προφήτης, ᾔδει τί πέπονθεν ἡ κιβωτὸς, εἰς τιμωρίαν τῶν παρανόμων ληφθεῖσα. ἐκεῖνοι μὲν γὰρ ἀνῃρέθησαν, αὕτη δὲ δορυάλωτος εἴληπται. ταῦ-

τὰ διανοηθεὶς, ἀποστραφῆναι ταύτην ἠξίωσεν, ὡς μεθ' ἑαυτοῦ μὴ δυνάμενος περιφέρειν τὸν τῶν μοιχῶν, καὶ φονέων, κατήγορον νόμον, οἷς ἔνοχος ἦν. ἀθῷον γὰρ, καὶ δίκαιον, οὐκ ἀποκτενεῖς. ὅταν δὲ, φησὶν ὁ νομοθέτης, καθάρῃ μου τὸν τῆς ψυχῆς ὀφθαλμὸν, τότε δυνήσομαι τὴν εὐπρέπειαν ταύτης ἰδεῖν.

Παραγινόμενος ἕως τοῦ ῥῶς.] Εἰς τὴν ἄκραν. λέγει δὲ τὸν ἐλαιῶνα, ὅθεν ὁ δεσπότης ἀνελήφθη Χριστὸς, καὶ προσεκύνησεν ἐκεῖ τῷ θεῷ· εἰς τὴν σκηνὴν, ὡς εἰκὸς, ἀποβλέψας, καὶ τὴν κιβωτὸν, τὴν ἐν ταύτῃ κειμένην.

Χουσὶ ὁ ἀρχιεταῖρος Δαβίδ.] Τινὲς οὐκ ἐπαινοῦσι τοῦ Χουσὶ τὸ ψεῦδος, ἀγνοοῦντες ὡς σὺν ἀγαθῷ τὸ ψεῦδος ἴσον ἐστὶ τῇ ἀληθείᾳ. ἀγαθῶν γὰρ, καὶ τῶν ἐναντίων, τὸν σκοπὸν ζητητέον, καὶ οὕτως εὑρήσομεν ἑκάτερον ἀγαθὸν, ἢ κακόν. τίς γὰρ οὐκ ἂν τὴν ἀλήθειαν τὴν Ἡρώδου κατηγορήσειεν, ἐπὶ φόνῳ γενομένην τοῦ Βαπτιστοῦ; ἐπεὶ γὰρ ὤμοσεν

ὡς

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

igitur animo voluens, eam reduci voluit. Ipſe enim in comitatu ſuo arcam ferre nõ potuit, eò quod legibus de adulterio, & homicidio, teneretur. Innoxium enim, dicit lex, & iuſtũ, non occides. Quando verò, inquit legiſlator, oculũ purgarit animæ meæ, tunc decorem arcæ videre potero.

Cum veniſſet vſque ad verticem.] In verticem, intelligit autem montem oliuarum, vnde Dominus noſter Chriſtus aſſumptus eſt. Et adorauit ibi Deum, ad tabernaculum, & arcam, in eo repoſitam, vt par erat, reſpiciens.

Chuſi ſummus amicus Dauid.] Quidam mendacium hoc Chuſi non probant. Ignorantes mendacium, quod bonum finem præpoſitum habet, veritati æquipollere. Bonorum enim & malorum conſilium, & ſcopus inquirendus eſt, & ſic inueniemus, vtrum bonum an malum ſit. Quis enim veritatem Herodis, in cæde Ioannis Baptiſtæ, non meritò reprehenderet? Cum enim illicitam rem iuraſſet,

ſatius fuiſſet mentiri, quàm cædem facere. Atque hac quidem in re non ſimulauit, vt pecuniam acquireret, aut perniciem alijs adferret: ſed, vt pij regis, & prophetæ, vitam defenderet.

CAP. XVI.

Ecce, tua ſunt omnia, quæ erant Mephibaal.] Quidam nimiam hanc Dauidis credulitatem reprehenderunt. Verùm enimuero ſæpenumero dictum eſt, prophetas non omnia nouiſſe. Hic autem probabilẽ, & ad perſuadẽdum appoſitam, orationẽ habuit; deinde, munera etiam attulit, ſuam beneuolentiam declarãs. Dauid autem, re cognita, vt reuera ſe habebat, vtrique partem ſubſtantiæ aſſignauit, & denuò illius curam rationemq́ue habuit. Nam cum Gabaonitæ tempore famis ſeptem cognatos Saulis peterent, non tradidit eis Mephibaal, ſed pactum cum Ionatha initum ſeruauit. Præterea, ſubſtantiam minuens, animum ipſius deiecit, ne regnum affectaret.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ὥς οὐκ ἔδει, τὸ ψεῦδος αἱρετώτερον τῆς σφαγῆς. κἀνταῦθα τοίνυν ἡ ὑπόκρισις οὐκ ἐπὶ κέρδει χρημάτων, οὐκ ἐφ' ἑτέρων λύμῃ, ἀλλ' ἐπὶ ζωῇ προφήτου, καὶ βασιλέως, εὐσεβοῦντος ἐγένετο.

ΚΕΦ. ΙϚ'.

Ἰδοὺ σοὶ πάντα τὰ Μεμφιβαάλ.] Τὴν εὐχερῆ πειθὼ τοῦ Δαβὶδ τινὲς κατεμέμψαντο. ἀλλ' εἴρηται πολλάκις, ὡς οὐχ ἅπαντα γινώσκουσιν οἱ προφῆται. οὗτος δὲ καὶ πιθανοὺς λόγους, καὶ δῶρα, προσήνεγκε, τὴν εὔνοιαν ἐνδεικνύμενος. μαθὼν δὲ τὴν ἀλήθειαν ὁ Δαβὶδ, ἀμφοτέροις ἐμέρισε τὴν οὐσίαν. ἐκείνου τε πάλιν ἐκήδετο. καὶ τῶν Γαβαωνιτῶν ἑπτὰ τοῦ Σαοὺλ ἐπὶ τῷ λιμῷ συγγενεῖς ᾐτηκότων, οὐκ ἐξέδωκε τὸν Μεμφιβαάλ, τὰς πρὸς Ἰωνάθαν συνθήκας τηρῶν. καὶ μερίσας δὲ τὴν οὐσίαν, καθεῖλε τὸ φρόνημα τοῦ μὴ τυραννίδα φαντάζεσθαι.

σθαι. ἴσως καὶ μαθὼν, τοιοῦτόν τι πεφωλευτάσθαι τὸν νέον, εἰ μὴ τὴν ἀπολογίαν ὡς ἀγαθὸς παρεδέξατο. οὐ γὰρ ἂν, τὸν δεσπότου καταψευσάμενον, σὺν αὐτῷ μεριστὴν εἰργάσατο, δέον καὶ τιμωρήσασθαι.

Ἰδοὺ υἱός μου, ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου.] Οὗτός, φησι, παλαιὰν εἶχε πρὸς ἐμὲ τὴν δυσμένειαν, ἐκ τῆς τοῦ Σαοὺλ συγγενείας ὑπάρχων, καὶ ἀξιοῖς τοῦτον ἀμύνασθαι τὸν ἐμὸν υἱὸν φρονοῦντα θεωρῶν κατ' ἐμοῦ. θεία κρίνει ἡ ψῆφος πέρας τοῖς προρρηθεῖσιν ἐπάγουσα. μὴ δεῖ καρτερεῖν, καὶ πραότητι τὴν θείαν μεταβάλλειν ὀργήν. καὶ ταῦτα μὲν ὁ θεῖος ἀνήρ. πλὴν οὐ τῆς θείας ἐνεργείας, οὔτε τοῦ Ἀμμὼν ἡ παράνομος συνουσία, οὔτε τοῦ Ἀβεσαλὼμ ἡ ἀδελφοκτονία, καὶ ἡ κατὰ τοῦ πατρὸς ἡ τοσαύτη μανία, ἀλλὰ τῆς θείας ἡ τοῦ Δαβὶδ οἰκία γυμνωθεῖσα κηδεμονίας σκάφος ἀκυβέρνητον ἐμιμεῖτο, καὶ τὰς τῶν πονηρῶν κυμάτων ἐδέχετο τρικυμίας.

Οὗτος

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ret. Fortaſſis cognouit, & animaduertit talem aliquam adoleſcentis imaginationem, & bonus cum eſſet, excuſationem recepit. Aliâs enim illum, qui aduerſus Dominum ſuum mendacium dixerat, quē punire potius debebat, nequaquam participem cum eo feciſſet.

Ecce filius meus, qui egreſſus eſt de vtero meo, &c.] Cum Semæi, inquit, de familia Saulis oriundus ſit, veterem mecum ſimultatem exercet, de hoc vltionem vis exigere, cum videas filium vitæ inſidias ſtruere? Diuina ſententia hæc, quæ prædicta ſunt, ad finem nunc perducit. Perdurandum igitur, & patientia ira diuina ſuperanda eſt. Atque hæc vir ille ſanctus. Cæterùm, neque Ammonis iniqua cohabitatio, neq; Abſolonis parricidium, neq; tantus contra parentem furor, ex operatione diuina fuit, ſed domus Dauidis, Dei gubernatione deſtituta, naui, quæ gubernatorem non habet, ſimilis erat, & malorum maximis procellis, & tempeſtate, iactabatur.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ei fuit omne conſilium Achitopel, tam apud Dauid, quam apud Abſolon.] Quomodo Dauid hoc conſiliario mala coſulente vſus eſt? Certum eſt, Achitophelem ſe rebus præſentibus accommodaſſe, & pro vtriuſque ingenio, & moribus, conſilia dediſſe: erga bonum malitiam celans, erga prauum autem, & malis gaudentem, oſtendens. Feſtinabat autem ad tollendum Dauidem, metuens, ne natura vtrumque conciliaret, & ad faciendum fœdus impelleret, & ipſe proditionis pœnas daret. Nihilominus tamen pœnam non effugit, ſed, cum filium in patrem armaſſet, ſibiipſi manus attulit.

CAP. XVII.

Et Dominus præcepit, vt diſſiparetur conſilium Achitophel.] S. ſcriptura docuit, quemadmodum Deus fecerit cum Chuſi. Bonum autem conſilium appellat, quod tyrannidi expediebat. Quapropter Dauid dixit in pſalm. Ecce parturit iniqui-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Οὕτως πᾶσα ἡ βουλὴ Ἀχιτόφελ καὶ τῷ Δαβὶδ, καὶ τῷ Ἀβεσαλώμ.] Πῶς ὁ Δαβὶδ ἐχρῆτο τούτῳ συμβούλῳ, πονηρὰ συμβουλεύοντι; ἀλλὰ δῆλον, ὡς τοῖς παροῦσιν ἡρμόττετο, καὶ πρὸς τὸν ἑκατέρου τρόπον ἐποιεῖτο τὰς συμβουλάς. πρὸς μὲν τὸν ἀγαθὸν, κρύπτων· πρὸς δὲ τὸν φαῦλον, καὶ χαίροντα κακοῖς, τὴν πονηρίαν δεικνύς. καὶ τὸν Δαβὶδ ἀποκτείνειν ἠπείγετο, δεδιὼς, μὴ συνάξῃ πρὸς διαλλαγὰς ἀμφοτέρους ἡ φύσις, καὶ τίσῃ δίκας τῆς προδοσίας. ὅμως τὴν δίκην οὐκ ἔφυγεν, παῖδα μὲν ὁπλίσας κατὰ πατρὸς, αὐτὸς δὲ ὑφ' ἑαυτοῦ δεξάμενος τὴν πληγήν.

ΚΕΦ. ΙΖ'.

Καὶ κύριος ἐνετείλατο διασκεδάσαι τὴν βουλὴν Ἀχιτόφελ.] Ἐδίδαξεν ἡ θεία γραφὴ, ὡς ὁ θεὸς συνέπραξε τῷ Χουσί. ἀγαθὴν δὲ λέγει τὴν τῇ τυραννίδι συμφέρουσαν. δι' ὅπερ ἔλεγεν ἐν ψαλμοῖς ὁ Δαβίδ.

ἰδοὺ ὠδίνησεν ἀνομίαν, συνέλαβεν πόνον, καὶ ἔτεκεν ἀνομίαν· λάκκον ὤρυξεν, καὶ ἀνέσκαψεν αὐτὸν, καὶ ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο,

Καὶ ἔψυχεν παλάθας.] Ἀκύλας, καὶ Σύμμαχος, πισάνας.

ΚΕΦ. ΙΗ′.

Οὐ στήσεται ἐν ἡμῖν καρδία.] Κατ᾽ ἐρώτησιν, ἐὰν ζῇς, φησὶν, οὐκ ἐσόμεθα πάντες ἄψυχοι. εἰ δὲ κατ᾽ ἀπόφασιν, ἐὰν ἀποθάνῃς, δῆλον ὅτι ἀθυμήσομεν. καὶ ἐὰν ἐκ μέρους, φησὶν, ἀποθάνωμεν, οὐχ ἱκανοὶ πρὸς παραμυθίαν οἱ σεσωσμένοι. κωλύουσι δὲ τὸν Δαβὶδ ἐξελθεῖν, δεδιότες, μή τι καὶ πάθῃ. εἰκὸς γὰρ ἦν, κατ᾽ αὐτοῦ μόνου χωρῆσαι τοὺς δυσμενεῖς. ἅμα δὲ καὶ δεδιότες, μὴ νικήσας οἰκτείρῃ τὸν τύραννον. φασὶν οὖν, ὡς ἐὰν ἡττηθέντες ἀποδράσωμεν, τὴν σὴν ζωὴν ἔχομεν ἀποχρῶσαν παραψυχήν. ἐὰν δὲ

σύ τι

iniquitatem, concepit dolorem, & peperit iniquitatem; foſſam aperuit, & effodit; & incidet in foueam, quam fecit.

Et ſiccauit palathas.] Aquila & Symmachus habent, ptiſanas, id eſt, hordeum, vel triticum, decorticatum.

Cap. XVIII.

Non ponetur in nos cor.] Interrogatiuè, ſi ſuperſtes fueris, dicunt, nonne erimus omnes forti animo? Vel negatiuè, ſi occumbas, certum eſt, quod conſternabimur. Sin autem ex parte interficiamur, dicunt, ſuperſtites ad conſolationem pares non erunt. Dauidem igitur exire prohibent, veriti, ne quid aduerſi ei accidat. Veriſimile enim erat, hoſtes, & inimicos, ipſũ ſolum expetere. Simul etiam metuentes, ne, ſi victor euaſiſſet, miſericordia erga tyrannum moueretur. Dicunt itaq;, quod ſi victi in fugam conuerſi fuerimus, tuam vitam habemus ſufficientem conſolatio-

nem. Quod ſi tibi aliquid aduerſi acciderit, publica erit calamitas. Tu etenim ſolus infinitis partibus nobis omnibus excellis. Hoc etiam Symmachus oſtendit, dicens; & tu, vt decem millia noſtrûm.

Quoniam dixit, non eſt mihi filius, &c.] Atqui diuinus ſcriptor ſupra dixit, eum tres filios, & filiam quoque, habuiſſe. Probabile eſt, filios procreaſſe, & eoſdem deceſſiſſe. Ioſephus autem, hac de cauſa eum id feciſſe ſcribit, quod, cum filij longo tempore perdurare non poſſint, illud ædificium memoriam ſui diutius conſeruaret.

Et fleuit rex.] Quomodo enim ille, qui propter humanitatem Saulem luxit, iam in filij obitu à natura non vinceretur? Præterea illum vir pius deplorat, qui per pœnitentiam curari amplius non potuit.

CAP. XIX.

Summus imperator mihi eris.] Tametſi

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

σύ τι πάθῃς, χωρήσει κατὰ πάντων ἡ συμφορά. σὺ γὰρ μόνος μυρίαις μοίραις ὑπερέχεις πάντων ἡμῶν. τοῦτο γὰρ ὁ Σύμμαχος δηλοῖ, λέγων. καὶ σὺ ὡς ἡμεῖς δέκα χιλιάσιν.

Ὅτι ἔλεγεν, οὐκ ἔστι μοι υἱός.] Καίτοι προεῖπεν ὁ συγγραφεὺς, ὅτι τρεῖς ἔσχεν υἱοὺς, μίαν δὲ θυγατέρα. ἀλλ' εἰκὸς, αὐτὸν παιδοποιῆσαι, καὶ τελευτῆσαι τοὺς παῖδας. Ἰώσηπος δὲ ἔφη, τοῦτο αὐτὸν δεδρακέναι, ὡς τῶν παίδων μὲν ἐπὶ πολὺ διαρκεῖν οὐ δυναμένων, τῆς δὲ οἰκοδομίας μᾶλλον φυλαττούσης τὴν μνήμην.

Καὶ ἐδάκρυσεν ὁ βασιλεύς.] Ὁ γὰρ διὰ φιλανθρωπίαν πενθήσας τὸν Σαοὺλ, πῶς ἐπὶ παιδὸς οὐκ ἂν ἐνικήθη τῇ φύσει. θρηνεῖ δὲ καὶ ὡς εὐσεβὴς τὸν διὰ μεταμελείας ἰαθῆναι μηκέτι δυνάμενον.

ΚΕΦ. ΙΘʹ.

Εἰ μὴ ἀρχιστράτηγος ἔσῃ μοι.] Εἰ γὰρ

καὶ πολλοὺς ὑπὲρ Δαβὶδ ὁ Ἰωὰβ ὑπέμεινε κινδύνους, ἀλλ' ἐμίσει τούτου τὸ θράσος. ἠνείχετο δὲ διά τε τὴν εἰς αὐτὸν εὔνοιαν, ἣν ἐκεῖνος ἐφύλαττε, καὶ δεδιὼς ἅμα, μή τι βουλεύσῃ νεώτερον. νῦν δὲ καιρὸν εὑρὼν, τὴν στρατηγίαν ἐπαγγέλλεται τῷ Ἀμεσσᾷ, ὃν ἀπέδειξεν Ἀβεσσαλὼμ στρατηγόν. ἦν δὲ καὶ αὐτὸς ἀδελφιδοῦς τῷ Δαβίδ. ὃ μαθὼν Ἰωὰβ, προσχήματι φιλίας τοῦτον ἀπέκτεινεν.

ΚΕΦ. Κ'.

Καὶ ἐξελύθη Δαβίδ.] Πρεσβύτης γὰρ ὢν, καὶ πλεῖστα προμαχεσάμενος, ἀπεῖπε τῷ σώματι. ἀλλ' ἐσώθη παραδόξως τοῦ γίγαντος τὰς χεῖρας διαφυγών. δηλοῖ δὲ ἡ γραφὴ, ὡς οὕτως ἐκάλουν οἱ τότε τοὺς μεγάλους τῷ σώματι, καὶ ῥώμην ἄμαχον ἔχοντας, καὶ οὔτε τοὺς δυσσεβεῖς, οὔτε τοὺς πολυχρονίους, ὥς τινες ὑπετόπησαν.

Ioab multa pericula pro Dauide ſubiuerit: ipſe tamen audaciam illius hominis odio proſequebatur. Ferebat autem eum nihilominus, partim propter beneuolentiam, quam erga Dauidem retinebat, partim metuens, ne rebus nouis ſtuderet. Iam igitur opportunitatem nactus, Ameſan, quem Abſolon ducem fecerat, ſummum imperatorem declarat, (erat autem & ipſe conſobrinus Dauidis,) quod vbi cognouiſſet Ioab, ſub prætextu amicitiæ hunc etiam interfecit.

CAP. XX.

Diſſolutus eſt Dauid.] Nam cum ſenex multa in bellis paſſus eſſet, corporis viribus defecit, manibus tamen gigantis per fugam ereptus, mirabiliter ſeruatus eſt. Indicat autem ſcriptura, homines vaſto corpore, & inuicto robore præditos, non autem impios, aut diuturnæ vitæ (quemadmodum quidam ſuſpicati ſunt,) hoc nomine appellatos eſſe.

CAP.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XXI.

Vir ex Gada.] Aquila, αἰτίδικος, aduerſarius, controuerſiæ nimirum. Symmachus verò habet, πρόμετρος.

CAP. XXII.

Verba huius carminis.] Poſt deuictos hoſtes, carmen epinicium Deo compoſuit. Vaticinatur autem de Chriſto Domino. Et, paucis exceptis, idem eſt cum pſalm. 131.

CAP. XXIII.

Spiritus Domini in me loquutus eſt.] Erubeſcant nunc Iudæi, qui Dauidem, tam euidenter, & perſpicuè, de rebus Chriſti, & fide, vaticinantem, prophetam appellari non patiuntur. Si enim ſpiritus Dei eſt in ipſo, ſi Deo Iacob in ipſo loqui viſum eſt, ſi arcana ſapientiæ ſuæ aperuit ei, cur propheta non eſſet?

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΚΕΦ. ΚΑ'.

Ἀνὴρ ἐκ Γάδης.] Ἀκύλας, ἀντίδικος. ἢ γ' οὖν ἀντιλογίας. ὁ δὲ Σύμμαχος, πρόμετρος.

ΚΕΦ. ΚΒ'.

Τοὺς λόγους τῆς ᾠδῆς ταύτης.] Μετὰ τοὺς πολέμους ἐπινίκιον τῷ θεῷ συντέθεικεν ὕμνον. καὶ προφητεύει περὶ τοῦ δεσπότου Χριστοῦ. ἐστὶ δὲ πλὴν ὀλίγων ὁ αὐτὸς τῷ ζ' ψαλμῷ.

ΚΕΦ. ΚΓ'.

Πνεῦμα κυρίου ἐλάλησεν ἐν ἐμοί.] Αἰσχυνθήτωσαν Ἰουδαῖοι, προφήτην εἰπεῖν οὐκ ἀνεχόμενοι τὸν Δαβίδ. ὡς ἐνεργῶς τὰ περὶ Χριστοῦ, καὶ τῆς τῶν ἐθνῶν προθεσπίσαντα πίστεως.. εἰ γὰρ πνεῦμα θεοῦ ἐν αὐτῷ, καὶ ὁ θεὸς Ἰακὼβ εὐδόκησεν ἐν αὐτῷ λαλῆσαι, καὶ τὰ κρύφια τῆς σοφίας ἐδήλωσεν αὐτῷ, πῶς οὐ προφήτης;

Καὶ οὐκ ἐβούλετο ποιεῖν αὐτό.] Παιδευθεὶς γὰρ, ἔγνω, ὅσων ἡ ἐπιθυμία πρόξενος συμφορῶν.

Ὀνομαστὸς ἐν τοῖς τρισὶ, ὑπὲρ τοὺς δύο ἔνδοξος.] Τοὺς τρεῖς ἐπαινέσας, τὸν Ἀβεσσᾶ τῶν δύο μὲν εἴρηκε κρείττονα, τοῦ πρώτου δὲ ἥττονα. ἐκεῖνος γὰρ, ἐννακοσίους ἀνῄρει παραταττόμενος· ἑξακοσίους δὲ, οὗτος. πρῶτος δὲ τῶν τριῶν, οὐ κατὰ τὸ ἔργον, ἀλλὰ κατὰ τὴν ἀρχήν. ἰστέον δὲ, ὡς Βανέας, υἱὸς Ἰωὰδ, ἀδελφιδοῦς ἦν τοῦ βασιλέως. ἔκγονον γὰρ αὐτὸν ἐκάλεσε τοῦ Ἰεσσαί. καὶ τούτου δὲ τὴν ἀνδραγαθίαν πολλάκις εἰπὼν, προσέθηκεν, ὅτι ὑπὲρ τοὺς τρεῖς ἔνδοξος ἦν, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἤρχετο. τῇ γὰρ τῶν τριῶν λειπόμενος ῥώμη, ἔνδοξος ἦν, ὡς τὴν φυλακὴν τοῦ βασιλέως πεπιστευμένος. κατέστησε καὶ αὐτὸν Δαβὶδ ἐπὶ τὴν φυλακὴν αὐτοῦ.

ΚΕΦ. ΚΔ'.

Λέγων, πορεύθητι, ἀρίθμησον τὸν Ἰσραήλ.]

Καὶ

Et noluit facere illud.] Caſtigatus enim, nouit, quantarum calamitatum hoſpes eſſet cupiditas.

Celebris in tribus, duobus clarior.] Tres collaudans, Abeſſam duobus præſtantiorem eſſe dixit, primo autem inferiorem. Ille enim, noningentos in acie interfecit; hic verò, ſexcentos. Primus verò ex tribus, non quod facta, ſed quod magiſtratum attinet. Sciendum autē eſt, Baneam, filium Ioiadæ, regis conſobrinum fuiſſe. Nam eum nepotem Ieſſe appellauit, &, fortitudinis eius ſæpe mentione facta, adiecit; tribus rerum geſtarum gloria præſtitiſſe. ita, vt cuſtodia regis illi commiſſa fuerit. Rex enim ſuæ cuſtodiæ eum præfecit.

Cap. XXIV.

Dicens, vade, numera Iſrael.] Cum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Deus iuſſerit, cur huius cenſus pœnas luit? Nequaquam igitur verba, ſed permiſſionem Dei, conſiderare oportet. Indidit enim ei vſum rationis. Quamobrem in lib. Paralip. ſic dicit, & inſurrexit Satan contra Iſrael, & Dauidem decepit, & impulit, vt numeraret Iſrael (ſic autem Hebræi aduerſarium, defectorem nominant.) Cum igitur hæc cogitatio diuinis promiſſionibus contraria fuerit, hoc nomine eam appellat. * Nec dixit contra Dauidem, ſed contra Iſrael, in quos pœna etiam graſſata eſt. Porrò ſcriptura diabolum iram Dei nominat, hinc eam in lib. Paralip. Satanam appellat. Præterea dixit ira, non ipſe. Quomodo verò à popu-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ εἰ θεὸς ἐκέλευσε, πῶς εὐθύνας ὑπέχει τῆς ἐξαριθμήσεως. οὐκοῦν οὐ λόγους δεῖ νοεῖν, ἀλλὰ συγχώρησιν τοῦ θεοῦ. ἐνέδωκε γὰρ τούτῳ κεχρῆσθαι τῷ λογισμῷ. τί γὰρ οὖν ἐν ταῖς Παραλειπομένοις οὕτω φησίν· καὶ ἀνέστη Σατὰν ἐπὶ Ἰσραὴλ, καὶ ἐπέσεισε τὸν Δαβὶδ τοῦ ἀριθμῆσαι τὸν Ἰσραήλ. οὕτω δὲ καλοῦσιν Ἑβραῖοι τὸν ἀντικείμενον ἀποστάτην. ἐπειδὴ τοίνυν ταῖς θείαις ἐπαγγελίαις ἐναντίος ὁ τοιοῦτος ἦν λογισμὸς, οὕτως αὐτὸν καλεῖ. καὶ οὐκ εἶπεν, ἐπὶ Δαβὶδ, ἀλλ' ἐπὶ τὸν Ἰσραήλ· καθ' οὗ καὶ τὰ τῆς δίκης ἀπήντηκεν. ὀργὴν δὲ θεοῦ λέγει τὸν διάβολον ἡ γραφή. διὸ Σατὰν αὐτὴν ἐν Παραλειπομένοις φησίν. καὶ εἴπερ ἡ ὀργὴ εἶπεν, καὶ οὐκ αὐτὸς, ἑτέρα παρ' αὐτὸν εἰποῦσα ἡ ὀργή. καὶ ὡς νῦν ἐπέσεισεν ἡ ὀργὴ λέγεται κυρίου, οὕτως ἐκεῖ· ἐπέσεισε Σατάν. εἰ δὲ τοῦ ἁμαρτεῖν αἴτιον τὸ ἐπισεῖσαι, τὸ αἴτιον ἄρα τοῦ ἁμαρτεῖν ἐστὶν ὁ διάβολος, δι' ἀμφοτέρων ὀνομαζόμενος τῶν προσηγοριῶν, καὶ πεί-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

θων ἁμαρτάνειν τοὺς ἁγίους ἁμαρτίαν ἐφ'
ᾗ παρέπεται δίκη. πῶς δὲ τοῦ Δαβὶδ ἀριθ-
μήσαντος ὁ λαὸς τιμωρεῖται; οἰκείας πα-
ρανομίας ἔτισε δίκας, καταλιπὼν τὸν εὐσε-
βῆ βασιλέα, τὸν παρὰ τοῦ θεοῦ τῶν ὅλων προ-
χειρισθέντα, καὶ γενόμενος μετ' ἀσεβοῦς καὶ
παρανόμου παιδός. καὶ τὸν μὲν Σαοὺλ κατα-
ψηφισθέντα, καὶ τῆς θείας γυμνωθέντα χάρι-
τος, μέχρι τελευτῆς οὐ κατέλιπον, καὶ ταῦτα
τοῦ Δαβὶδ ὑπὸ τοῦ προφήτου χρισθέντος. τὸν
δὲ μυρίων ἀγαθῶν αὐτοῖς πρόξενον, καὶ τὸ
τῶν ἀλλοφύλων καταλύσαντα θράσος, καὶ
προφήτην, οὐ μόνον κατέλιπον, ἀλλὰ καὶ ἀν-
τιπαρετάξαντο. διὸ καὶ πράττονται δίκας διὰ
τοῦ Δαβὶδ εἰς ὃν ἐπαρῴνησαν. ὅθεν καὶ ἡ
γραφὴ τὴν ὀργὴν κυρίου θυμωθῆναί φη-
σιν ἐπὶ Ἰσραὴλ, οὐκ ἐπὶ Δαβίδ. πρόφασις
γὰρ ἦν τιμωρίας ὁ γενόμενος ἀριθμός. τι-
γαροῦν μόνους πλήττει τοὺς ἀποστάντας, καὶ τῆς
ἀρχῆς μηδαμῶς ἁψάμενος ἡλικίας.
ἔδει γὰρ καὶ προδιαθεῖναι τὸ μέλλον, τὰς
συνε-

populo pœna exigitur, cum tamen Dauid populum numerauerit? Populus ſuæ iniquitatis debitas pœnas perſoluit, eò quod regem pium, qui à Deo in hoc, vt omnibus præeſſet, deſignatus erat, deſeruiſſent, & impij ſceleratique filij partes eſſent ſequuti. Saulem quoque condemnatum, & gratia diuina deſtitutum, ad obitum vſque non reliquerunt, licet Dauid à propheta in regem vnctus eſſet. Hunc enim, qui multorum bonorum eis author fuerat, & Palæſtinorum potentiam fregerat, quique propheta erat, non modo deſeruerunt, ſed aciem contra eum inſtruxerunt. Propter Dauidem igitur, in quem contumelioſi fuerunt, pœnas luunt. Hinc ſcriptura dicit, iram Domini graſſatam eſſe contra Iſraelem, non contra Dauidem. Nam occaſio tantum pœnæ erat cenſus populi factus. Solos itaque defectores percutit, & illis, qui nondum ætatem rebus gerendis vtilem attigerant, parcit. Continuas enim defectiones reprimētem,

id quod

id quod futurum erat præuenire oportebat. Valde autem religioſè Dauid non ea delegit, in quibus ipſe, quippe rex, reliquis facile præſtare potuiſſet, nam fame orta ipſe quidem cibi penuria non laboraſſet; intra mœnia etiam, & munitiones, latitans, armiſque indutus, facile hoſtes effugiſſet. Rem igitur eligit, quæ hominum auxilium & potentiam non admittit, æqua cum reliquis conditione ſententiæ ſuperioris ſe permittens.

A mane vſque ad horam prandij.] Noctibus etiam diebus connumeratis, duodecimam duntaxat pœnarum partem, quas Deus eis comminatus fuerat, eis irrogatam fuiſſe inuenimus. Ita miſericors DEVS atrocibus minis peccatores deterrens, minore, quam comminatus fuerat, in exigenda pœna ſeueritate vſus eſt. Cum enim fuerint decies centena millia, qui apti erāt militiæ, exceptis grandioribus natu, & ætate immaturis, præterea Leuitis, & tribu Beniamitica, quæ pœni-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

συνεχεῖς ἀποστάσεις προδυναστέλλοντα. εὐσεβῶς δὲ λίαν ὁ Δαβὶδ οὐκ ᾔτησεν ἐν οἷς εἰκὸς ἦν πλεονεκτεῖν βασιλέα τυγχάνοντα. οὐκ ἂν γὰρ αὐτὸς ἠπόρει τροφῆς, εἴπερ ἐγεγόνει λιμός· ἀλλὰ καὶ περιβολὴν ἔχων, ῥᾳδίως ἂν τοὺς πολεμίους διέφυγεν. ὅθεν αἰτεῖ πρᾶγμα μὴ δεχόμενον ἀνθρωπίνην ῥοπὴν, ἐξ ἴσης μοίρας τοῖς ἄλλοις ἐπιτρέπων ἑαυτὸν τῇ τοῦ κρείττονος ψήφῳ.

Ἐκ πρωΐθεν ἕως ὥρας ἀρίστου.] Συναριθμουμένων καὶ τῶν νυκτῶν ταῖς ἡμέραις, τὸ δωδεκατημόριον εὑρίσκεται τῆς ἀπειλῆς ἐπενεχθὲν τῷ λαῷ. οὕτως ὁ φιλάνθρωπος θεὸς μείζοσι μὲν κέχρηται ταῖς ἀπειλαῖς, τοὺς ἁμαρτάνοντας δεδιττόμενος, πολλῷ δὲ τῶν ἀπειλῶν ἐλάττους ἐπιφέρει τὰς τιμωρίας. ὅπου γε καὶ χιλίων τριακοσίων οὐσῶν χιλιάδων δηλαδὴ τῶν τὴν στρατεύσιμον ἡλικίαν ἀγόντων, καὶ τῶν προώρων, καὶ τῶν ἐξώρων, καὶ μέντοι καὶ γυναικῶν ἐξῃρημένων, προσέτι δὲ καὶ τῶν Λευιτῶν, καὶ τῆς Βενιαμίτιδος φυλῆς.

μεταμεληθέντος γὰρ τοῦ βασιλέως, οὐκ ἠριθμήθη. ἑβδομήκοντα χιλιάδες ἀνῃρέθησαν μόναι, καὶ οὐδὲ ἐν ἀκαρεῖ διεφθάρησαν. οὐ γὰρ ἐδεῖτο χρόνου ὁ τιμωρὸς ἄγγελος. ἐν ἀκαρεῖ γὰρ ἀνεῖλε καὶ τὰ τῶν Αἰγυπτίων πρωτότοκα, καὶ τὰς ἑκατὸν, καὶ ὀγδοήκοντα, χιλιάδας τῶν Ἀσυρίων. τῆς φιλανθρωπίας τοίνυν, ἀλλ' οὐ τῆς ἀδυναμίας, ὁ χρόνος. τὸ δὲ παρὸν ῥητὸν, οὕτω τινες ἠλληγόρησαν. κατὰ θείαν ὀργὴν ὁ θάνατος ἐπεκράτει τοῦ λαοῦ κυρίου μέχρις ὥρας ἀρίστου. ἀπὸ τῆς ἀρχῆς τοῦ αἰῶνος, μέχρι τοῦ καιροῦ τῆς τραπέζης, δηλαδὴ μέχρι κατῆλθεν ὁ νοητὸς ἄρτος ἐξ οὐρανοῦ. τότε γὰρ τὸν ὀλοθρευτὴν, καὶ θάνατον, δυσωπηθεὶς κατέλυσεν ὁ θεός. ὃς ἐπείπερ ἤθελε, καὶ τοῖς τὴν ἁγίαν οἰκοῦσι πόλιν, τὴν ἐκκλησίαν, τὴν φθοροποιὸν ἐπαφεῖναι χεῖρα, τότε κελεύεται παύσασθαι τῶν διὰ ζῶντος ἄρτου τελειουμένων οἰκητόρων τῆς ἐκκλη-

pœnitentiam agente rege propter hoc peccatum, non numerata eſt, ſeptuaginta millia virorum ſublata ſunt. Neque repente mortui ſunt, non enim tempore indigebat Angelus vaſtator. Repente verò, & ſubito, ſuſtulit non modo AEgyptiorum primogenita; ſed & centum octoginta mille Aſſyriorum. Tempus igitur hoc diuinæ erga homines bonitatis, non impotentiæ, eſt argumentum. Præſentem verò locum, quidam per allegoriam hunc in modum expoſuerunt. Mors, propter iram Dei, populo Domini ad prandium vſque dominabatur. Ab exordio ſæculorum, vſque ad tempus prandij, donec videlicet panis intelligibilis (νοητὸς) de cœlo deſcendit. Tunc enim Dominus placatus vaſtatorem illum, & mortem, diſſoluit, & compeſcuit. Qui quandoquidem ſanctam vrbem, nempe Eccleſiam, incolentes, tabifica manu attingere voluit, nunc quieſcere iubetur, Eccleſiæ ciuibus, & incolis, per viuentem panem con-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ſecratis. Magnifica enim, inquit, ô Dei ciuitas, de te dicta ſunt. Non enim inimicum vlterius vincere oportebat, poſtquam ſacræ menſæ tempus apparuit, quod prandij tempus latenter innuit. Chriſtus autem Seruator ſeipſum pro nobis obtulit, ſuum dicens eſſe peccatum, qui peccatum non nouerat. Ipſe enim peccata noſtra tollit, & propter nos dolores ſuſtinet, &, veluti bonus paſtor, animam ſuam poſuit pro ouibus. Nam ſecundum hiſtoriam, Dauid, veram & propriam cauſam ignorans, id quod factum eſt, ſuum ipſius peccatum appellat.

Vt acquiram à te aream, &c.] Hæc area typum gerit Eccleſiæ, per quam mors ceſſat. Domus enim eſt naturalis vitæ, hoc eſt Chriſti, in quam pij, ſermonibus ſanctorum demeſſi de hoc mundo, manipulorum in modum colliguntur, vt in aulam cœle-

ἐκκλησίας. δεδοξασμένα γάρ, φησιν, ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ θεοῦ. οὐ γὰρ ἔδει νικᾶν τὸν ἐχθρὸν μετὰ τὴν ἀνάδειξιν τοῦ καιροῦ τῆς ἁγίας τραπέζης, ἣν ὁ τοῦ ἀρίστου καιρὸς ὑπαινίττεται. ὁ δὲ σώζας Χριστός, ὡς ἐν προσώπῳ νοούμενος τοῦ Χριστοῦ, ὃς ἑαυτὸν ὑπὲρ ἡμῶν προσενήνοχεν, ἑαυτοῦ λέγων εἶναι τὴν ἁμαρτίαν, ὁ μὴ εἰδὼς ἁμαρτίαν. αὐτὸς γὰρ τὴν ἁμαρτίαν ἡμῶν αἴρει, περὶ ἡμῶν ὀδυνᾶται, καὶ ὡς ποιμὴν ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τέθεικεν ὑπὲρ τῶν προβάτων. καὶ καθ' ἱστορίαν γὰρ ὁ Δαβίδ, ἀγνοῶν τὴν αἰτίαν, οἰκείαν ἁμαρτίαν τὸ γεγενημένον ἐκάλεσεν.

Κτήσασθαι παρά σου τὴν ἅλω.] Τὴν ἐκκλησίαν ἡ ἅλως τυποῖ, δι' ἧς ὁ θάνατος παύεται. οἶκος γάρ ἐστι τῆς κατὰ φύσιν ζωῆς, τουτέστι Χριστοῦ, ἐφ' ἣν δράγματα ἤγουν ἀσταχύων συλλέγονται δίκην οἱ διὰ τοῦ λόγου τῶν ἁγίων κειρόμενοι ἀπὸ κόσμου, ὡς ἂν εἰς τὰς ἄνω συγκομισθεῖεν αὐλάς, καθά-

τῆς εἰς ἀποθήκην δεσποτικὴν, μετὰ τὴν τῶν ἀχρειουμένων καὶ περιττῶν ἀπόθεσιν πράγματός τε ὁμοῦ, καὶ φερνήματος. ὅπερ ὡς ἐν εἴδει τῶν ἀχύρων νοεῖται. διόπερ φησίν. ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη, ὁ θερίζων μισθὸν λαμβάνει. καὶ πάλιν. ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι, καὶ τὰ ἑξῆς. καὶ περὶ Χριστοῦ φησὶν Ἰωάννης, οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. ταύτην ἄρα τὴν ἅλω τὴν νοητὴν ἐξεπρίατο Χριστὸς πεντήκοντα σίκλων· τουτέστιν, οὐκ ἐλαφρῶν τιμημάτων. ἀλλὰ καὶ τὸν ἀριθμὸν ἐμφαίνουσι τῆς ἀφέσεως. ἑαυτὸν γὰρ δέδωκεν ὑπὲρ αὐτῆς, καὶ ἔπηξεν ἐν αὐτῇ θυσιαστήριον. καὶ ἐπείπερ ἐστὶν ἀρχιερεὺς, καὶ αὐτὸς τὸ θῦμα προσεκόμισεν ἑαυτὸν, ὡς ἐν τύπῳ τοῦ ἀλεῦλος μόσχου. καὶ γέγονεν ὁλοκαύτωμα, καὶ εἰρηνικὴ θυσία.

λέλυ-

cœleſtem, tanquam in herile horreum, comportentur. Quemadmodum ex palearum ſimilitudine intelligitur. Quamobrem inquit: Attollite oculos veſtros, & contemplamini agros, albi enim iam ſunt ad meſſem, meſſor mercedem accipit. Et iterum: meſſis multa quidem, pauci verò meſſores, & quæ ſequuntur. De Chriſto, inquit, Ioannes, cuius ventilabrum in manu eius, & repurgabit aream ſuam, & conuehet triticum ſuum in horreum, paleas autem igni inextinguibili comburet. Hanc igitur aream intelligibilem (νοητὴν) Chriſtus quinquaginta ſiclis, hoc eſt, non paruo pretio emit. Cæterùm numerum quoque declarant dimiſſionis. ſeipſum enim dedit pro ea, & aram in illa poſuit. Et quandoquidem ſummus eſt pontifex, ipſe ſeipſum quoque ſacrificium obtulit, cuius rei typum vitulus in area mactatus prætulit. Et factus eſt holocauſtum, & pacifica hoſtia. Sub-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

latum enim eſt in Chriſto interſtitium. Ipſe eſt pax noſtra, iuxta ſcripturas.

Poſſidebo à te in permutatione, &c.] Solomon dicit: Honora Dominum de iuſtis tuis laboribus, & largire ei de tuis fructibus iuſtitiæ. In illo verò agro ædificauit Solomon templum. Dicit enim hiſtoria: Adiunxit Solomon ad altare vltimò, quod in principio paruum erat. Significans, Euangelium progreſſu temporis promouendum, & propagandum, eſſe. Semper enim ex paruis initijs Ecclesia dilatatur, & ſubinde plures adduntur.

PROCO-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

λέλυται γὰρ τὸ μεσολαβοῦν ἐν Χριστῷ. αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν κατὰ τὰς γραφάς.

Κτήσομαι παρά σου ἐν ἀλλάγματι.] Ὠφεληθεὶς τὸν πατέρα καὶ Σολομὼν ἔφη. τίμα τὸν κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης. ἐν ἐκείνῳ δὲ τῷ χωρίῳ τὸν ναὸν ᾠκοδόμησε Σολομών. φησὶ γὰρ ἡ ἱστορία, προσέθηκεν ὁ Σολομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχάτῳ, ὅτι μικρὸν ἦν ἐν πρώτοις, ὑποδηλοῦσα τὴν κατὰ καιροὺς ἐσομένην τοῦ εὐαγγελίου προκοπήν. καὶ ἡ ἐκκλησία γὰρ διὰ παντὸς ἐκ μικροτέρας εὐρύνεται, καὶ προστίθενται πλείους.

ΠΡΟΚΟΠΙΟΥ

Γαζαίου Σοφιστοῦ εἰς τὴν τρίτην τῶν Βασιλειῶν Σχόλια.

ΚΕΦ. Α΄.

ΚΑὶ ὁ βασιλεὺς Δαβὶδ πρεσβύτης σφόδρα.] Ζηλήσεις, εἴπου τὸ πρεσβύτερος ἐπὶ φαύλου ὑπὸ τοῦ προσώπου τῆς γραφῆς εἴρηται, ἢ ἐπὶ ἁγίου· καὶ, εἰ τὸ προβεβηκὼς ἡμέραις λέγεται· καὶ, εἰ διαφέρει πρεσβύτερος τοῦ πρεσβύτης.

Καὶ ἦν τῷ βασιλεῖ σύγκοιτος.] Τὸ τῆς παρθένου ἀκμαῖον ἐπενόησαν, ὥστε ζώσας καὶ ζεούσης νεότητος σάρκας παραμυθεῖσθαι τὸν Δαβίδ. ἱματίων μὲν γὰρ φύσις τηρεῖν πέφυκε τοῦ σώματος τὴν ζέσιν, ἀλλὰ καὶ πλείονα ποιεῖν ἣν εὗρεν· οὐδὲν γὰρ τὸ ψυχρὸν ὠφηλεῖν. ἡ δέ γε ζέουσα σὰρξ τῆς προσούσης θέρμης τῷ ταύτης δεκτικῷ μεταδίδωσι.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

PROCOPII GAZÆI SOPHISTÆ IN LIBRVM TERTIVM REGVM Scholia.

Cap. I.

Et rex Dauid ſenex admodum.] Quæres an πρεσβύτερος de improbo vſurpetur à ſcripturâ, an de ſancto; &, an προβεβηκὼς ἡμέραις dicatur: item, an differant, πρεσβύτερος, & πρεσβύτης.

Et dormiebat cum rege.] Florentem virginis ætatem conſiderarunt, quæ vigore & calore iuuentutis ſuæ Dauidis carnem ſolaretur. Nam veſtimentorum quidem natura eſt, vt corporis calorem conſeruent, & inuentum calorem augeant, nihil verò frigido corpori conferant. Caro autem calida, de ſuo calore, quem habet, in rem, quæ ſuſcipiendo calori idonea eſt, tranſmittit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et Ornia filius Haggid Dauid.] Adonias. Binominis enim erat.

Et oues, & agnos, &c.] Oues quidem ex ouium & caprarum grege, agnos verò ex ouium grege, & vnius duntaxat ætatis.

Qui iunctus erat Aïn.] Epulum iuxta fontem quendam ſcaturientem ante vrbem exhibuit. Iuxta quem hortus regius conſitus erat, ſic enim Ioſephus ſcribit. Symmachus etiam Aïn vna cum Syro fontem interpretatus eſt.

Nathan venit ad Berſabee.] Quidam ſtultè, & ineptè, ſuſpicati ſunt Nathan, doloris impatientia, eò quod ad conuiuium vocatus non eſſet, hæc feciſſe. Cæterùm propheta, diuini decreti, & conſilij, gnarus (per hunc enim regi aperuit; non tu ædificabis mihi domum, ſed ecce filius naſcetur tibi, cui nomen erit Solomon, hic ædificabit nomini meo domum,) cum vidiſſet Orniam contra voluntatem & con-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ Ὀρνιὰ υἱὸς Ἀγγὲθ Δαβίδ.] Ἀ-
δωνίας. καὶ γὰρ ἦν διώνυμος.

Καὶ πρόβατα, καὶ ἄρνας.] Μήποτε πρό-
βατα μὲν τὰ ἐκ ποιμνίου καὶ ἐξ αἰπολίου,
ἄρνας δὲ τὰ ἐκ ποιμνίου, καὶ μόνα μιᾶς
ἡλικίας.

Τὸν ἐχόμενον Ἀΐν.] Τὸ συσσίτιον ἐπετέ-
λεσε παρά τινα πηγὴν πρὸ τοῦ ἄστεος ἀνα-
βλύζουσαν, παρ' ἣν βασιλικὸς ἐτεθήλει
παράδεισος. οὕτω γὰρ Ἰώσηπος ἔφη. καὶ ὁ
Σύμμαχος δὲ τὴν Ἀΐν πηγὴν ἑρμήνευ-
σεν, ὡς καὶ ὁ Σύρος καλεῖ.

Καὶ Νάθαν ἦλθε πρὸς Βηρσαβεέ.] Τι-
νὲς ἀνοήτως ὑπέλαβον ἀλγῆσαι τὸν Νά-
θαν, ὡς μὴ κληθέντα εἰς τὸ συσσίτιον· διὸ
ταῦτα ποιῆσαι. ὁ δὲ προφήτης, τὴν τοῦ θεοῦ
ψῆφον εἰδώς, δι' αὐτοῦ γὰρ ἐδήλωσε τῷ
βασιλεῖ, οὐ σὺ οἰκοδομήσεις μοι οἶκον· ἀλλ'
ἰδοὺ, υἱὸς τίκτεταί σοι, Σολομὼν ὄνομα αὐτῷ,
οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου·
θεασάμενος τὸν Ὀρνίαν παρὰ τὴν θείαν

βουλὴν τὴν βασιλείαν ἁρπάζοντα, ἀνε-
μνησε διὰ τοῦ Βηρσαβεὲ τὸν βασιλέα τοῦ θείας
προῤῥήσεως· εἶτα εἰσελθὼν, τοὺς ἐκείνης
ἐβεβαίωσε λόγους.

Καὶ ἄρνας, καὶ πρόβατα.] Καὶ ἐνταῦθα
διάφορα ταῦτα φησίν.

Καὶ καταβιβάσατε αὐτὸν ἐπὶ τὴν Γειών.]
Γειὼν μὲν ὁ Νεῖλος, ὡς Ἱερεμίας. καὶ νῦν
τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτου τοῦ πιεῖν ὕδωρ Γειών.
ἐπωνόμασαν δὲ καὶ τὸν Σιλωὰμ Γειών. ἢ,
ὡς ἄγαν σμικρὸν εἰρωνικῶς αὐτὸν οὕτω
καλέσαντες· ἢ, ἐπειδὴ καὶ αὐτὸς ἐξ ἀφα-
νῶν ἔξεισιν ὑπονόμων, ὥσπερ ὁ Νεῖλος. τά-
ξει δὲ κέχρηται, προτάξας Σαδὼκ τὸν ἱε-
ρέα, εἶτα Ναθὰν τὸν προφήτην, καὶ μετὰ
ταῦτα Βαβαίαν υἱὸν Ἰωδαὲ τὸν στρατηγὸν,
ἔχοντα σφενδονητὰς, καὶ τοξότας, τὸν Χερεθ-
θὶ, καὶ Φελεθθί.

Ὑπὲρ τὸ ὄνομά σου.] ᾔδεσαν ὡς οὐδεὶς,
πατρικὴν ἔχων φιλοστοργίαν, ἐζηλοτύπησε
παῖδα. οἱ γὰρ τοιοῦτοι καὶ λαμπροτέρους
εὔχον-

ſilium Dei, regnũ occupare, regi per Berſabeam Dei vaticinium in memoriam reuocauit; poſteà, ad regem ingreſſus, ſermones illius confirmauit.

Et agnos, & boues.] Hic quoque differentia hæc dixit.

Et deducite eum ad Gihon.] Gihon quidem Nilus eſt, ſicut Ieremias. Et nunc quid tibi rei eſt cum via AEgypti ad bibendum aquam Gihon? Cæterùm Silo hanc quoque Gihon appellauerunt. Vel, quod valde exiguus ſit, per ironiam hoc nomine eum appellantes; vel, quod ipſe quoque per occultos cuniculos, quemadmodum Nilus, exurgat. Ordine autem vſus eſt, primo loco Sadocum ſacerdotem conſtituens, deinde Nathan prophetam, poſtea Babæam filium Iodae capitaneum, vnà cum funditoribus, & ſagittarijs, Cherethi, & Phelethi.

Super nomen tuum.] Sciebant neminem, qui paterno affectu præditus eſſet, filio inuidere. Etenim tales, ſplendidiores filios

filios videre exoptant. Quamobrem etiam Dauid hæc, quæ à principibus dicta ſunt, cum gaudio & lætitia excepit. Cumque ætate prohiberetur, quo minus aſſurgere poſſet, inclinatus Deum adorauit, qui promiſſiones impleuiſſet.

CAP. II.

Tu fortis eris, & vir potens.] Hæc dicit; tanquam in Solomonis poteſtate eſſet; in virum euadere. Prius enim vires ſumit, qui vir futurus eſt.

Cuſtodire viam eius, & quæ ſequuntur, vſque ad illud, *vt intelligas.*] Hoc eſt, neque leue atque exiguum quiddam in ſpeciem, illorum quæ ſcripta ſunt tranſgredi audeas.

Vt intelligas.] Niſi enim, quæ præſcripta, in conſpectu habeamus, non intelligemus, quæ facturi ſumus.

Noſti quæ mihi fecerit Ioab.] Quomodo filio mandauit, id quod ipſe non fecit? Veritus eſt ipſe hoc facere, eo quod tot

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

εὔχονται σοῦ παῖδας ἰδεῖν. τοιγαροῦν καὶ Δαβὶδ οὕτως ἐφήσθη τοῖς ὑπὸ τῶν ἀρχόντων εἰρημένοις, ὅτι καὶ τοῦ γήρως αὐτὸν ἀναστῆναι κωλύοντος, κατακεκλιμένος προσεκύνησε τὸν θεὸν, ταῖς ὑποσχέσεσι δεδωκότα τὸ πέρας.

ΚΕΦ. Β΄.

Καὶ κραταιωθήσῃ, καὶ ἔσῃ εἰς ἄνδρα δυνάμεως.] Ὡς ὄντος ἐπὶ Σολομῶντι τῆς γενέας εἰς ἄνδρα ταῦτα φησί. πρῶτον δὲ ἐνισχύει ὁ ἐσόμενος εἰς ἄνδρα.

Φυλάσσειν ὁδὸν αὐτοῦ, καὶ τὰ ἑξῆς, μέχρι τοῦ, ὅπως συνίῃς.] Τοῦτ᾽ ἐστὶ, μηδὲ τὸ τυχὸν τῶν γεγραμμένων παραβῆναι τολμήσῃς.

Ὅπως συνίῃς.] Ἐὰν γὰρ μὴ τὰ προγεγραμμένα χῶμεν, οὐ συνίεμεν ἃ ποιήσωμεν.

Καὶ νῦν οἶδας, ἃ ἐποίησέ μοι Ἰωάβ.] Πῶς τῷ παιδὶ προσέταξεν, ὅπερ αὐτὸς οὐ πεποίηκεν; ᾐδέσθη μὲν τοῦτο αὐτὸς, ὡς τοσού-

των κινδύνων γενόμενον κοινωνόν. ἅμα δὲ καὶ δεδιὼς ἔλεγεν, υἱοὶ Σερουίας σκληρότεροί μου εἰσίν. ἑώρα δὲ καὶ συγκατασκευάζοντα αὐτὸν τῷ Ορνίᾳ τὴν τυραννίδα. ἐφοβήθη τοίνυν, μὴ ἀποκτείνῃ τὸν νέον, ἢ δοκῶν εὔνους, ὡς τὸν Ἀβεννὴρ, καὶ τὸν Ἀμεσσά· ἢ καὶ φανερῶς διελὼν τὸν λαόν. καὶ τῷ Σεμεῒ δὲ συγγνώμην δοὺς, νῦν ἀνελεῖν αὐτὸν προσέταξε τῷ παιδὶ, δεδιὼς αὐτοῦ τὸ τυραννικὸν, καὶ θρασύ. ἢ ὡς προφήτης εἰδὼς, ὡς οὐ φείσεται καιρὸν εὑρὼν οὐδὲ τοῦ παιδός· ὅς γε ἐπὶ τῆς τοῦ Σολομῶντος προστάξεως ὠλιγώρησε. φυλάξασθαι τοίνυν αὐτῷ τούτου πονηρίαν παρεκελεύσατο.

Καὶ ἐτάφη ἐν πόλει Δαβίδ.] Οὕτω καλεῖ τὴν Σιὼν ἡ γραφὴ, ἥτις ἦν ἡ ἄνω πόλις. πᾶσα δὲ νῦν Ἱερουσαλὴμ ὀνομάζεται· ἐν ᾗ τεθάφθαι τοῦτον, καὶ τοὺς μετ' αὐτὸν βασιλέας, λέγει Ἰώσηππος. τὸ δὲ μνῆμα παρὰ τὸν Σιλωὰμ εἶναι, ἀντροειδὲς ἔχον τὸ σχῆμα, καὶ βασιλικὴν δηλοῦν πολυτέ-

λυτέ-

periculorum participem ipſe habuiſſet, ſimul etiam ſibi metuens, dixit: Seruiæ filij duriores ſunt, quàm ego. Videbat enim, quod ipſe quoq; cum Ornia, regnum adfectante, faceret. Metuens igitur, ne iuuenem, vel occultè amicitiam ſimulans, quemadmodum Abnerem & Ameſſam, vel apertè populum concitando, interficeret. Præterea iniungit adoleſcenti, vt Semei quoque, cui ignouerat, interficiat, formidans tyrannidem, & confidentiam ipſius. Nouerat enim, vtpote propheta, quod oblata occaſione ne filio quidem parſurus eſſet, qui Solomonis etiam præceptum contempſit. Malitiam igitur ipſius obſeruare eum iuſſit.

Et ſepultus eſt in ciuitate Dauid.] Sion hoc modo ſcriptura appellat, quæ vrbis arx erat. Tota verò nunc Hieruſalem nominatur. In qua Ioſephus Dauidem, & qui poſt eum fuerunt reges, ſepultos eſſe tradit, & monumentum iuxta Siloam antri ſpeciem habuiſſe, & ſumptus regales, oſten-

dens. Dicit autem multum auri vna cum eo in terram defoſſum eſſe ab ipſo Solomone. Hircanum enim, ſummum pontificem, cum vrbs ab Antiocho Demetrij filio obſideretur, aperto monumēto octoginta talenta accepiſſe. Dauid autem obijt, cum ſeptuaginta annorum eſſet, regno potitus anno ætatis trigeſimo, regnauit annis quadraginta. Illud verò *dormiuit*, primum de Dauide dictum eſt, mortem ſignificans. Obſeruabis autem, an hæc propter Chriſtum ſint ſcripta, qui, cum cecidiſſet, ceu leo dormiuit, & veluti catulus leonis. Quapropter dictum eſt, ego obdormiui, &c.

Et interfecit Orniam.] Quidam ſuccenſent Solomoni, quod fratrem interfecerit. Diuerſæ autem hominum ſunt vitæ rationes. Quidam enim abſolutam, & perfectam, philoſophiam tractant; alij verò illam, quæ ciuilis diſciplina appellatur; alij regnum, aut militare imperium, adminiſtrant. Vnumquodque hominum illorum genus ad vitæ, quam ſequitur, rationem exigen-

λυτέλειαν. ἔφη δὲ καὶ πολλὴν αὐτῷ συγκατορυγῆναι χρυσὸν παρὰ τοῦ Σολομῶντος. Ὑρκανὸν γὰρ, τὸν ἀρχιερέα, πολιορκουμένης ὑπ' Ἀντιόχου τῆς πόλεως τοῦ Δημητρίου παιδὸς, ἀνοίξαντα τὸ μνῆμα, λαβεῖν ὀγδοήκοντα. Δαβὶδ δὲ τετελεύτηκεν ἐτῶν ἑβδομήκοντα. βασιλεύσας μὲν τριακοντούτης, βασιλεύσας δὲ τεσσαράκοντα. τὸ δὲ ἐκοιμήθη, πρῶτον ἐπὶ Δαβὶδ εἴρηται, δηλοῦν τελευτήν. ἐπιστήσεις δὲ, εἰ διὰ Χριστὸν ταῦτα γέγραπται· ὃς ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος. διόπερ εἴρηται· ἐγὼ ἐκοιμήθην, καὶ ὕπνωσα, καὶ τὰ ἑξῆς.

Καὶ ἀνεῖλε τὸν Ὀρνίαν.] νεμεσῶσί τινες, ὡς ἀδελφὸν ἀποκτείναντι. διάφοροι δὲ τῶν ἀνθρώπων οἱ βίοι. οἱ μὲν γὰρ, ἀσκοῦσι τὴν ἄκραν φιλοσοφίαν· οἱ δὲ, τὴν καλουμένην πολιτικὴν ἀρετήν· ἄλλοι βασιλείαν, ἢ στρατηγίαν, ἰθύνουσιν. ἕκαστον ἄρα πρὸς τὸν βίον

ἐξεταστέον. Σολομῶν τοίνυν οὐ προφητικὴν εἶχεν, οὐδὲ πολιτικὴν, τελειότητα, τὴν δὲ βασιλεῦσιν ἁρμόττουσαν. πειραθεὶς τοίνυν, ᾔδει τὸν Ὀρνίαν τυραννεῖν ἐφιέμενον. καὶ συγγνοὺς τὸ πρῶτον, εἰ σωφρονήσει· νῦν ἀνεῖλεν, αἰτοῦντα τὴν σύνευνον τοῦ πατρός· ὅπερ τυραννίδος ὑπῆρχεν ὁδὸς, καὶ πολέμων ἐμφυλίων ἀρχή.

Πρὸς Ἰωὰβ, εἰς τὴν σκηνὴν τοῦ κυρίου.] Κατὰ τὸν νόμον τὸν φονευτὴν ἀποκτεῖναι κελεύει, προσφυγόντα τῇ τοῦ κυρίου σκηνῇ.

Εἰς ἱερέα πρῶτον, ἀντὶ Ἀβιάθαρ.] Ἦν γὰρ Ὀρνίᾳ κοινωνήσας τῆς τυραννίδος, ὡς δηλοῖ καὶ τοῦ Σολομῶντος τὰ ῥήματα. πλὴν ὁ Σολομῶν καὶ τῆς θείας προῤῥήσεως γέγονεν ὑπουργός. τῷ γὰρ Ἠλὶ καὶ διὰ Σαμουὴλ, καὶ δι' ἄλλου προφήτου, προηγόρευσεν ὁ θεὸς τοῦ γένους τὴν ἀτιμίαν.

Φρόνησιν τῷ Σολομῶντι, καὶ σοφίαν πολλήν.] Ἐκ παραλλήλου τὴν σοφίαν ἐδήλωσε.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

exigendum eſt. Solomon igitur, neque propheticam illam, neque politicam, perfectionem habuit; ſed illam, quæ regibus conuenit. Cum igitur, periculo facto, cognouiſſet Orniam tyrannidem adfectare, (licet primum ei ignouiſſet, ſi moderatè ſe geſſiſſet) nunc eum interficit, cum patris vxorem petiuiſſet. nam hæc ad tyrannidem via erat, & bellorum inteſtinorum initium. vt verba Solomonis etiam declarant.

Ad Ioab, in tabernaculum Domini.] Secundùm legem iubet homicidam, qui in Domini tabernaculum confugerat, occidere.

In primum ſacerdotem, Abiatharis loco.] Nam is Orniæ conſiliorum de regno inuadendo particeps erat. Porrò Solomon diuinæ quoque prædictionis adminiſter fuit. Deus enim, non modo per Samuelem, ſed per alium quoque prophetam, Heli generis infamiam prædixit.

Deus dedit prudentiam Solomoni, & ſapientiam multam.] Sapientiam Solomonis alio-

rum

aliorum comparatione oſtendit, & propterea illorum, qui olim ſapientia clari, & celebres fuerunt, mentio facta eſt; inter quos Ægyptios, qui apud omnes ſapientiæ laudem habuerunt, primo loco poſuit. Nam, quemadmodum Græci memoriæ prodiderunt, Pherecydes Syrius, Pythagoras Samius, Anaxagoras Clazomenius, & Plato Athenienſis, phyſiologiæ, & Theologiæ accuratioris diſcendæ cauſa, ad illos profecti ſunt. Quapropter dicit ſcriptura, Moyſem omni ſapientia AEgyptiorum inſtitutum eſſe. Quos Solomon, diuinitus ſapientiæ donum adeptus, ſuperauit. Vituperationem verò laudibus ipſius ſcriptura coniunxit, quod vxorem alienigenam contra legem duxerit.

CAP. III.

Super eleuationes.] Princeps tranſportantium lapides, & ligna. Illos νωτοφόρους in libris Paralipomenon appellat.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

σε. τούτου χάριν, καὶ τῶν πάλαι γεγενημένων σοφῶν ἀορίστως ἐμνήσθη, καὶ τοὺς Αἰγυπτίους προστέθεικεν, δοκοῦντας παρὰ πᾶσιν εἶναι σοφούς. ὡς γὰρ ἱστόρησαν Ἕλληνες, Φερεκύδης ὁ Σύριος, καὶ Πυθαγόρας ὁ Σάμιος, καὶ Ἀναξαγόρας ὁ Κλαζομένιος, καὶ Πλάτων ὁ Ἀθηναῖος, πρὸς τούτους ἐξεδήμησαν, φυσιολογίας χάριν, καὶ θεολογίας ἀκριβεστέρας· διό φησιν ἡ γραφὴ, καὶ Μωϋσῆς ἐπαιδεύθη πάσῃ σοφίᾳ Αἰγυπτίων, οὓς ἐνίκα Σολομῶν, θεόθεν δῶρον τὴν σοφίαν κτησάμενος. ψόγον δὲ τοῖς ἐπαίνοις συνέζευξεν ἡ γραφή. γυναῖκα γὰρ ἀλλόφυλον παρανόμως ἠγάγετο.

ΚΕΦ. Γ΄.

Ἐπὶ τὰς ἄρσεις.] Ἄρχων τῶν μετακομιζόντων λίθους, καὶ ξύλα. τούτους δὲ νωτοφόρους ἐν Παραλειπομένοις καλεῖ.

Καὶ ἐπὶ τοῦ πλινθίου.] Ἀπὸ μέρους τακτικοῦ τὸ πᾶν ἐδήλωσεν στράτευμα. Ἴσως δὲ καὶ πλαίσιον ὀνομάζουσι, δηλοῦντες τὸ τετράγωνον τῆς τάξεως σχῆμα. ὁ αὐτὸς δὲ ἦν οὗτος τῷ νῦν παρὰ Ῥωμαίοις μαγίστρῳ, τῶν φρουρούντων τὸν βασιλέα στρατοπέδων ἡγούμενος.

Καὶ ὁ λαὸς ἐθυμίων ἐν τοῖς ὑψηλοτάτοις.] Οὐκ εἰδώλοις, ἀλλὰ θεῷ, παρὰ τὸν νόμον. ἐν ἑνὶ γὰρ θύειν προσέταξε τόπῳ. πλὴν συγγνώμης ἐτύγχανον, οὐκ ἔχοντές που νεών. ἐντεῦθεν δὲ νοητέον καὶ τὰ περὶ τῶν ἄλλων ἱστορούμενα βασιλέων, ὡς ἐξῆραν τὰ ἄλση, καὶ τὰς στήλας τοῦ Βαὰλ συνέτριψαν, πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆραν. τὸ δὲ αὐτὸ καὶ περὶ Σολομῶντος ἐπήνεγκεν, ὡς ἐν αὐτοῖς ἔθυεν, ἀλλ' οὐκ ἐν τῇ σκηνῇ πρὸ τῆς κιβωτοῦ. εἰ γὰρ εἰδώλοις ἔθυεν, οὐκ ἂν αὐτῷ θεὸς ἐπεφαίνετο.

Καί γε, ὃ οὐκ ᾐτήσω, δέδωκά σοι.] Σύμφωνον τῷ, αἰτεῖτε δὲ τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et ſuper lateres.] Ex parte ordinata, & inſtructa, totum ordinem exercitus ſignificauit, quem πλαίσιον quoque à laterali forma appellant, ſignificantes quadrangularem aciei formam. Erat verò ille idem cum eo, qui nunc apud Romanos magiſter cuſtodum Imperatoris.

Et populus adolebat in excelſis.] Non idolis, ſed Deo, contra legem. Vnico enim in loco ſacrificia offerri præceperat. veniam autem conſequuti ſunt, eò quod templum nondum haberent. Hinc autem intelligenda ſunt, quæ de alijs etiam regibus memorantur, quod lucos exciderint, & ſtatuas Baal confregerint, veruntamen excelſa non ſuſtulerint. Idem verò de Solomone etiam protulit, quod in excelſis ſacrificarit, ſed non in tentorio, ante arcam. Si enim idolis ſacrificaſſet, Deus ei non apparuiſſet.

Et quod non poſtulaſti, dedi tibi.] Conſentit cum illo. Quærite regnum Dei, & iuſtitiã eius, & hæc omnia adijcientur vobis.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et ecce ſomnium.] Hoc eſt, recordatus inſomnij, cum abiuiſſet, Deo ſacrificia pro acceptis beneficijs obtulit.

CAP. IV.

Sadok, & Abiathar, ſacerdotes.] Atqui depoſuit Abiathar, à principatu quidem, non à ſacerdotio. Hoc enim, non ex ſuffragiјs, & electione populi habebant, ſed ex ſucceſſione generis.

Regi, & domui ipſius.] Quæ ſuppeditabantur menſæ regis, non famuli duntaxat, ſed etiam milites, cuſtodiæ corporis regis, & excubijs deputati, & principes inſumebant.

Et ſapientia ſuperabat Aetham.] Tunc quidam ſapientia conſpicui, & clari erant. Aetham verò, & Aemath, ex cantorum numero erãt, citharis, nablis, & cymbalis, Deum celebrantes.

Loquutus eſt de lignis.] De naturis, & viribus herbarum, arborum, & aliarum rerum, rationis expertium, diſputauit. Ex quibus

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ ἴδε ἐνύπνιον.] Τουτέστι, μνησθεὶς τοῦ ὀνείρατος, ἀπιὼν, θεῷ προσήγαγε χαριστήρια.

ΚΕΦ. Δ'.

Καὶ Σαδοὺκ, καὶ Ἀβϊάθαρ, ἱερεῖς.] Καὶ μὴν ἔπαυσε τὸν Ἀβιάθαρ, ἀλλὰ τῆς ἀρχῆς, οὐ τῆς ἱερωσύνης. ταύτην γὰρ οὐκ ἐκ χειροτονίας, ἀλλ᾽ ἐκ γονικῆς εἶχον διαδοχῆς.

Τῷ βασιλεῖ, καὶ τῷ οἴκῳ αὐτοῦ.] Τὰ χορηγούμενα τῇ τραπέζῃ τοῦ βασιλέως ἀνήλισκον οὐ μόνοι θεράποντες, ἀλλὰ καὶ οἱ φρουροῦντες στρατιῶται, καὶ ἄρχοντες.

Καὶ ἐσοφίσατο ὑπὲρ Αἰθάμ.] Ἦσαν τότε τινὲς ἐπὶ σοφίᾳ λαμπροί. ὁ δὲ Αἰθὰμ, καὶ Αἱμὰθ, τῶν ψαλμῳδῶν ἦσαν, ἐν κινύραις, καὶ ναύλαις, καὶ κυμβάλοις, τὸν θεὸν ἀνυμνοῦντες.

Περὶ τῶν ξύλων.] Τὰς φύσεις, καὶ τὰς δυνάμεις, καὶ τῶν βοτανῶν, καὶ τῶν δένδρων, καὶ τῶν ἀλόγων, ἐφυσιολόγησεν. ἐξ ὧν εἰ-

κος καὶ τοὺς γεγραφότας ἰατρικὴν ἐρευνήσασθαι πάμπολλα.

ΚΕΦ. Ε'.

Καὶ ἔδωκεν αὐτὰς Φαραώ.] Καλεγγυήσας, φησὶ, τὴν θυγατέρα τῷ Σολομῶντι, τὰς πόλεις εἰς προῖκα παρέχειν αὐτῇ.

Χρίσαι τὸν Σολομῶντα.] Χρίσιν τὴν χειροτονίαν καλεῖ. οὐ γὰρ ἀλλόφυλος ἔχρισε τὸν βασιλέα τοῦ Ἰσραήλ. ὡς οὖν πατρῷος φίλος, σύμψηφος τῆς βασιλείας ἐγένετο.

Μεχίρ.] Τὸ Μεχὶρ, μέτρον ἑρμηνεύεται· τὸ δὲ Βὲθ, οἱ ἄλλοι βάτον ἡρμήνευσαν. ἔστι δὲ μέτρον Παλαιστινὸν, πεντήκοντα ξέστας, καὶ χοεῖς χωρῶν τέσσαρας. ὡς Ἰώσηππος ἔφησεν.

ΚΕΦ. ϛ'.

Λίθους ἀπελεκήτους.] Ἐκ τούτων λίθων ᾠκοδόμησε τὸν νεὼν, κατὰ θείαν πρόνοιαν τούτους εὑρών. ὡς μὴ δεῖσθαι σιδήρου πρὸς ἁρμο-

quibus veriſimile eſt, illos, qui de medicina ſcripſerunt, plurima collegiſſe.

CAP. V.

Et Pharao dedit ipſas.] Cum deſponſaſſet, inquit, filiam Solomoni, vrbes dotis loco ei dedit.

Ad vngendum Solomonem.] Vnctionem vocat electionem. Non enim alienigena regem Iſraeliticum vngebat, ſed, quia patris amicus erat, probauit quod in regnum paternum ſucceſſiſſet.

Mechir.] Hoc vocabulum Mechir, menſura ab interpretibus redditur. Beth verò, alij batum interpretati ſunt. Eſt autem menſura Palæſtinorum, ſeptuaginta ſextarios, & choas, vel congios quatuor capiens, vt ſcribit Ioſephus.

CAP. VI.

Lapides edolatos, & politos.] Ex huiuſcemodi lapidibus templum conſtruxit, cum diuina diſpenſatione tales inueniſſet, ne

ferro opus eſſet ad accuratiſſimam iunctu-
ram, &compoſitionem. Sectis verò lapi-
dibus ambulacrum templi ædificauit: re-
giam item, & mœnia metropolis, & alias
vrbes, quas munitiores reddidit.

Quadraginta cubitorum longitudo eius.] Paulò pòſt aliorum quoque cubitorum domus ſancti ſanctorum meminit, ita, vt in vniuerſum ſint ſexaginta. Templum verò, ad ortum reſpiciebat, vt adoraturi non ſolem orientem, ſed Dominum ſolis adorarent. Elam verò, veſtibulum appellat.

Feneſtras reticulatas ſecretas.] Templum feneſtras habuit intus latas, foris valde anguſtas, perforatis lapidibus contectas, hoc enim ſignificat id quod dicit, foris enim non videbantur. Melathra verò ædiculas vocat, quæ circumcirca templum complectebantur, vt templum fulcirent: vtque nemo ex Leuitis parietes templi contrectaret, item, vt diuini miniſterij vaſa huc

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ἁρμονίαν ἀκριβεστάτην· τμητοῖς δὲ λίθοις τὸν τοῦ ἱεροῦ περίβολον ᾠκοδόμησε, καὶ τὰ βασίλεια, καὶ τὸ τῆς μητροπόλεως τεῖχος, καὶ τὰς ἄλλας πόλεις, ἃς ὀχυρωτέρας ἀπέφηνεν.

Τεσσαράκοντα πήχεις τὸ μῆκος αὐτοῦ.] Μετ᾽ ὀλίγα, καὶ ἄλλων εἴκοσι πήχεων ἐπιμέμνηται τοῦ οἴκου τοῦ ἁγίου τῶν ἁγίων, ὡς εἶναι τοὺς πάντας πήχεις ἑξήκοντα. ὁ δὲ νεὼς ἐτέτραπτο πρὸς ἕω, ὡς ἂν οἱ προσευχόμενοι μὴ τὸν ἥλιον ἀνίσχοντα προσκυνήσωσιν, ἀλλὰ τὸν τοῦ ἡλίου δεσπότην. Ἐλὰμ δέ, φησί, τὸ προπύλαιον.

Θυρίδας δεδικτυωμένας κρυπτάς.] Φωταγωγοὺς ὁ νεὼς εἶχεν, ἔνδοθεν μὲν εὐρείας, ἔξωθεν δὲ λίαν στενάς, διατρήτοις λίθοις κεκαλυμμένας. τοῦτο γὰρ δηλοῖ τὸ ῥητόν, οὐχ ὡρῶντο γὰρ ἔξωθεν. μέλαθρα δὲ τοὺς οἰκίσκους καλεῖ, τοὺς κύκλῳ συνέχοντας τὸν νεών, ὡς τὸ διακρατεῖσθαι, καὶ μηδένα τῶν Λευιτῶν τοῦ νεὼ προσψαύειν τοῖς τοίχοις, καὶ τὰ τῆς

θείας λειτουργίας ἀποτίθεσθαι σκεύη. Δαβεὶρ δὲ, τὸ ἅγιον τῶν ἁγίων καλεῖ.

Ἡ πλευρὰ, ἡ ὑποκάτω πέντε πήχεων.] Θαυμαζέτω μηδεὶς, εἰ πενταπήχεις μὲν, οἱ ἐπίπεδοι ἦσαν οἶκοι· ἑξαπήχεις δὲ, οἱ διώροφοι· ἑπταπήχεις δὲ, οἱ τριώροφοι. οἱ τοῖχοι γὰρ ἦσαν εὐρύτεροι κάτωθεν, ὥστε φέρειν τῆς οἰκοδομίας τὸ βάρος. ἀφαιρουμένου δὲ κατὰ μέρος τοῦ εὔρους, προσετέθη τοῖς μὲν διωρόφοις ὁ πῆχυς, τοῖς δὲ τριωρόφοις οἱ δύο. Ἰώσηππος μέντοι φησὶ, καὶ αὐτὸν τὸν νεὼν διώροφον γενέσθαι, καὶ πᾶν τὸ ὕψος ἑκατὸν καὶ εἴκοσι πήχεων. ὃ καὶ τῶν Παραλειπομένων ἡ βίβλος δηλοῖ.

Καὶ πᾶν σκεῦος σιδηροῦν οὐκ ἠκούσθη.] Οἱ μὲν γὰρ τοῦ νεὼ λίθοι, ἦσαν αὐτοφυεῖς· τοὺς δὲ τοῦ περιβόλου, ἐν τῷ ὄρει ξεσθῆναι, καὶ ἀλλήλοις συναρμοσθῆναι, προσέταξεν.

Καὶ ἑλικτὴ διάβασις εἰς τὴν μέσην.] Εὐρύτατος γὰρ ὢν ὁ τοῖχος, κοχλιοειδῆ τὴν ἀνάβασιν εἶχεν ἐπὶ τὴν δευτέραν θέσιν καὶ τρίτην,

huc reponerentur. Dauir autem, ſanctum ſanctorum appellat.

Latus quod infra, quinque cubitorum latitudo eius.] Nemo miretur,ſi domus ima,& in ſolo poſita,quinque cubitorum fuit; ſecundũ autem tabulatum, ſex cubitorum; tertium tabulatum,ſeptem cubitorũ. muri enim inferne latiores erant,vt ædificij molem portare poſſent. Ablata autem, & diminuta ex parte ipſa latitudine, adiectus eſt cubitus ſecundo tabulato,tertio autem duo cubiti.Ioſephus enim dicit,ipſum quidem templum duo tabulata habuiſſe, & totam altitudinem fuiſſe 120 cubitorum, id quod liber Paralip. quoque exprimit.

Et nullum inſtrumentum ferreum auditum fuit.] Lapides enim templi natura apti erant ad ædificium. Lapides autem periboli in monte ſecari, & inuicem coagmentari iuſſit.

Et flexus aſcenſus in medium.] Cum murus latiſſimus eſſet, cochleas in ſecundam & tertiam (θέσιν) contignationem habuit,

quæ tanquam tabulata, vel cœnacula, in templo fuerunt. Hoc verò tabulis cedrinis contexit, & tabulas auro. ἱμαντρίδας verò, id eſt, tabulata, ἐνδέσμους appellauit. Per quinque autem cubitos lapidum, inquit, coniunctiones fecit.

Et fecit altare in conſpectu Dabir.] Altare enim thymiamatis ante velum poſitum erat, quod ex vna parte menſam, ex altera candelabrum habebat.

Aulam interiorem.] Quemadmodum templum in duas partes diſtinctum fuit, ita etiam ὕπαιθρα, hoc eſt, loca ſubdialia. In quorum alterum quidẽ, omnis populus ingredi potuit; in alterum autem, Leuitæ duntaxat, & ſacerdotes. Hos autem paries, vel ſeptum non altum, ab illis arcebat, ita, vt ſeiuncti foris ſacrificiorum oblationem ſpectare poſſent. Per tres autem ſtructuras trabes, quæ parietes continent, cedris intexit.

CAP.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

τρίτην, ὡς ὑπερώων ὄντων ἐν τῷ νεῷ. σανίσιν δὲ αὐτὸν κεδρίναις ἐκάλυψε, καὶ χρυσῷ δὲ τὰς σανίδας· ἐνδέσμους δὲ, τὰς ἱμαντρίδας ἐκάλεσεν. κατὰ πέντε δέ, φησι, λίθων πήχεις τὰς ἱμαντώσεις παρεῖχεν.

Καὶ ἐποίησε θυσιαστήριον κατὰ πρόσωπον τοῦ Δαβείρ.] Τὸ γὰρ θυσιαστήριον τοῦ θυμιάματος πρὸ τοῦ καταπετάσματος ἔκειτο· ἔνθεν μὲν, ἔχον τὴν τράπεζαν· ἔνθεν δὲ, τὴν λυχνίαν.

Τὴν αὐλὴν τὴν ἐσωτέραν.] Ὥσπερ ὁ ναὸς εἰς δύο διῄρητο, οὕτω καὶ τὰ ὕπαιθρα. τούτων γὰρ τὰ μὲν, ἦν βατὰ παντὶ τῷ λαῷ· τὰ δὲ, τοῖς ἱερεῦσι, καὶ τοῖς Λευίταις. διεῖργε δὲ τούτους ἀπ' ἐκείνων τριγγίον, οὐχ ὑψηλὸν, ὥστε καὶ τοὺς ἀπεσχοινισμένους τῶν ἔνδον, ἔξωθεν θεωρεῖν τὴν τῶν θυσιῶν ἱερουργίαν. διὰ τριῶν δέ, φησι, δόμων ἱμάντωμα διέτεινον κέδρινον.

ΚΕΦ. Ζ΄.

Καὶ δύο ἐπιθέματα.] Ἀντὶ τοῦ, ἐπίστυλα.

Καὶ μέλαθρον ἐπ᾽ ἀμφοτέρων τῶν στύλων.] Τὸ ἐπίστυλον.

Τὴν θάλασσαν.] Λουτῆρα χαλκοῦν, ὃν διὰ τὸ μέγεθος ἐκάλεσε θάλασσαν, εἰς τὸ νίπτεσθαι τοὺς ἱερεῖς ἐν αὐτῷ. εἶδος δὲ ἡ θάλασσα εἶχεν ἡμισφαιρίου, πήχεων δέκα τὴν διάμετρον· τὸ δὲ κυκλοειδὲς, τριάκοντα τριῶν πήχεων· τὸ δὲ πάχος, σπιθαμῆς. τῶν δὲ δύο σπιθαμῶν, τῆς ἐντεῦθεν φημὶ, καὶ τῆς ἐκεῖθεν, τῇ διαμέτρῳ συμμετρουμένων, ἕνδεκα πήχεις εὑρίσκονται. τριπλασιαζόμενοι δὲ οὗτοι, ποιοῦσι τρεῖς καὶ τριάκοντα.

Βλαστὸν κρίνου.] Τοῦ λουτῆρος τὸ χεῖλος ἐπικλινὲς ἦν εἰς τὰ ἔξω, τὰ φύλλα τοῦ κρίνου μιμούμενον.

Δέκα

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. VII.

Et duo epithemata.] Pro epiſtylijs, hoc eſt, trabibus, quæ ſuper columnas ponuntur.

Et laquear in ambabus columnis.] Epyſtilon intelligit.

Mare.] Labrum æneum, quod propter magnitudinem mare appellauit, hunc vſum habebat, vt in eo ſacerdotes lauarentur. Habuit autem hoc mare figuram hemiſphærij, & decem cubitorum diametrum. ipſe orbis, vel circulus, triginta cubitorum fuit; craſſitudo eius, palmus fuit. Sin autem duo palmi, qui hinc & illinc in diametro ſunt, connumerentur, inueniuntur vndecim cubiti. illi verò triplicati, faciunt triginta tres cubitos.

Germen lilij.] Labri labium inclinatum erat in partes exteriores, ad ſimilitudinem foliorum lilij.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Decem mechanoth.] Liber Paralipomenon labra μηχωνὰς vocauit. Ioſephus autem, βάσεις. Quadrangularem autem figuram eas habuiſſe dicit, & ſubiectas rotas ſimiles rotis curruum. Habebant autem illæ in ſuperiori parte manuum effigies, quæ circulum, coronæ ſimilem, præferebant.

Decem magnas ollas.] Labra baſibus appoſita. In illis autem victimas lauabant, & pedes, quemadmodum liber Paralipomenon dicit.

Et lauacra calida tria.] Thermas vocat lebetes, & ahena, in quibus aquam calefacere conſueuimus.

Sancta Dauid.] Spolia, quæ hoſtibus detracta ſuſpendit.

Domum ſaltus Libani.] Hanc fecit veſtibulum fori iudicialis, habuit autem columnas 135. Vnde probabile eſt, domum ſaltus Libani appellatam eſſe. Nam propter multitudinem columnarum cedrinarum, ſaltum Libani referebat.

Quadra-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Δέκα μηχανὼθ.] Τῶν Παραλειπομένων ἡ βίβλος λουτῆρας τὰς μηχωνὰς ὠνόμασεν. ὁ δὲ Ἰώσηππος, βάσεις. τετραγώνους δὲ αὐτὰς λέγει γεγενῆσθαι, τροχοὺς ἐχούσας ὑποκειμένους, τοῖς τῶν ἁρμάτων ἐοικότας. εἶχον δὲ αὗται ἄνω χειρῶν ἐκτυπώματα, στεφανοειδῆ φέροντα κύκλον.

Δέκα χυτρογαύλους.] Λουτῆρας ἐπικειμένους ταῖς βάσεσιν. ἐν δὲ τούτοις ἔπλυνον τὰ ἱερεῖα, καὶ τὰ τούτων ἐντὸς, καὶ τοὺς πόδας, ὡς ἐν ταῖς Παραλειπομέναις φησίν.

Καὶ τὰς θερμὰς τρεῖς.] Θερμὰς καλεῖ τοὺς θερμαντῆρας, ἐν οἷς τὸ ὕδωρ θερμαίνειν εἰώθαμεν.

Τὰ ἅγια Δαβίδ.] Ἅπερ ἐκ τῶν πολέμων ἀνέθηκεν ἀκροθίνια.

Τὸν οἶκον δρυμοῦ τοῦ Λιβάνου.] Τοῦτον τοῦ δικαστηρίου πεποίηκε πρόδομον. εἶχε δὲ στύλους κεδρίνους ρλέ. ὅθεν εἰκὸς αὐτὸν οἶκον κληθῆναι δρυμοῦ τοῦ Λιβάνου, διὰ τὸ πλῆθος τῶν κεδρίνων κιόνων, μιμουμένων τοῦ Λιβάνου τὸ ἄλσος.

Πέντε καὶ τεσσαράκοντα ὁ στίχος ὁ εἷς.] Τρίστοιχον ἦν, ἐχούσης ἑκάστης στοᾶς πέντε καὶ τεσσαράκοντα κίονας. τὴν γὰρ τετάρτην στοὰν ἀπετέλει τὸ δικαστήριον τὰ προπύλαια, ἅπερ φησὶν Αἰλάμ. αἱ δὲ στοαὶ ἀλλήλαις κατὰ τὰ ἄκρα συνήπτοντο διά *

* χωρα ἐπίχωρα τριστῶς. τὰς δὲ στοὰς ἐκάλεσε μέλαθρα.

ΚΕΦ. Η´.

Ἃ ἐλάλησας ἐν τῷ στόματί σου, καὶ ἐν ταῖς χερσί σου ἐπλήρωσας.] Ἀνθρωπίνως φησὶν, ὅτι, οἷς εἶπας, τὸ πέρας ἐπέθηκας.

Ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς.] Φύσιν ἔχων, φησὶν, ἀπερίληπτον, χειροποίητον ναὸν κατεσκεύασας, οὐκ ἐν τούτῳ περιγραφόμενος, ἀλλ' ἐν αὐτῷ τὴν οἰκείαν ποιούμενος ἐπιφάνειαν. ὡς δηλοῖ τὸ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Quadraginta quinque ordo vnus.] Triplex porticus erat; habebat autem quælibet quadraginta quinq; columnas. quartam enim porticum fori iudicialis veſtibula (quæ appellat Elam) conſtituunt, porticus autem inuicem in ſummitáte coniungebantur. Porticus autem Melathra vocauit.

CAP. VIII.

Quæ loquutus es in ore tuo, & in manibus tuis perfeciſti.] Humano more dicit, quia finem illis, quæ dixiſti, impoſuiſti.

Quoniam ſi verè habitabit Deus cum hominibus ſuper terram.] Cum Deus ſis, inquit, naturæ incomprehenſibilis, qui nullo tempore, vel loco, circumſcribi potes, templum manufactum ædificaſti, quo non circumſcriberis, ſed te in illo exhibes, & oſtendis. Quod declarat, oculos tuos ad domum hanc apertos eſſe noctu, & interdiu.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et exaudies in cœlo.] Manifeſte his omnibus oſtendit Deum, in ſingulis rebus vnumquemque non ex domo, quæ ſuper terram eſt, ſed ex cœlo exaudire: & confitetur ſe non ipſi Deo, ſed nomini ipſius, templum ædificaſſe. Nouerat enim ipſum immenſum eſſe, & omnia implere. Iſaias etiam dicit, ſic dicit Dominus. Cœlum mihi thronus eſt, terra autem ſcabellum pedum meorum, quale templum ædificabitur mihi, dicit Dominus, aut quis locus quietis meæ?

Dixit, vt habitaret in caligine.] Nubes, & caligo, circa eum, dicit Dauid. Et iterum; Caligo ſub pedibus eius. Item, & tenebras poſuit latibulum ſuum. Tenebræ autem, & caligo, naturam diuinam inuiſibilem ſignificant. Dicit igitur, quod ille, qui ſolem in cœlo poſuit, vt homines luce fruantur, quod ipſe, inquam, dicat, vt habitaret in caligine, intelligibiter quidem incomprehenſibilem, & immen-

ſum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ.] Σαφῶς διὰ τούτων ἁπάντων ἐφ' ἑκάστῳ τὸν θεὸν οὐκ ἐκ τοῦ οἴκου τοῦ ἐπὶ τῆς γῆς, ἀλλ' ἐκ τοῦ οὐρανοῦ εἰσακούειν φησίν. καὶ ὁμολογεῖ οὐκ αὐτῷ θεῷ ἀλλὰ τῷ ὀνόματι αὐτοῦ ᾠκοδομηκέναι τὸν ναόν. ᾔδει γὰρ αὐτὸν ἀχώρητον, καὶ τὰ πάντα πληροῦντα. καὶ Ἠσαΐας δέ φησιν· οὕτως λέγει κύριος, ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος. ἢ τίς τόπος τῆς καταπαύσεώς μου;

Καὶ εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ.] Νεφέλη, καὶ γνόφος, κύκλῳ αὐτοῦ, φησὶν ὁ Δαβίδ· καὶ πάλιν. καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. καὶ πάλιν. καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. τὸ δὲ σκότος, καὶ γνόφος, τῆς θείας φύσεως αἰνίττεται τὸ ἀόρατον. φησὶ τοίνυν, ὅτι τὸν ἥλιον ἐν οὐρανῷ τεθεικώς, ὥστε τοὺς ἀνθρώπους ἀπολαύειν τοῦ φωτός. αὐτὸς εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ, νοητῶς μὲν, τὸ ἀκατάληπτον δηλῶν,

αἰσθητῶς δὲ, τὸν ναὸν αἰνιττόμενος. φωταγωγοὺς γὰρ ἄγχου εἶχε σμικροτάτους. ἐπειδὴ καὶ ἑτέρους οἰκίσκους εἶχε κύκλῳ. διό, φησιν, εἶπας, οἰκοδόμησόν οἶκόν μοι, οἶκον εὐπρεπῆ σεαυτῷ, τοῦ κατοικεῖν ἐπὶ καινότητος. οὐδὲ γὰρ αὐτὸς ἐδεῖτο τῆς τοιαύτης οἰκοδομίας, ἀλλὰ διὰ τὴν τῶν ἀνθρώπων χρείαν οἰκοδομηθῆναι προσέταξεν. τοῦ δὲ νεὼ τὴν κατασκευὴν, καὶ τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τῶν σκευῶν τὸν ἀριθμὸν, Δαβὶδ τῷ Σολομῶντι παρέδωκεν, ὡς ἡ τῶν Παραλειπομένων βίβλος φησί. πάντα γὰρ ἐν γραφῇ ἐκ χειρὸς κυρίου ἔδωκε Δαβὶδ τῷ Σολομῶντι. φησὶ δὲ, καὶ ὡς μαρμάροις ὁ νεὼς ἐπεποίκιλτο. λίθους γὰρ ὄνυχος, καὶ πληρώσεως λίθους πολυτελεῖς. καὶ πάλιν. λίθον τίμιον, καὶ λίθους Παρίους εἰς πλῆθος.

Ἐπὶ βιβλίου τῆς ᾠδῆς. Πολλὰ γὰρ ἦν, ὡς εἴρηται, βιβλία προφητικὰ, καὶ τοῦτο σαφῶς ἐν Παραλειπομένοις δειχθήσεται.

Ἐπτὰ

ſum ſignificans, ſenſibiliter verò templum innuens, feneſtras enim minimas habuit, quoniam alias etiam ædiculas circumquaque habuit, ideo dicit. Dixiſti, ædifica mihi domum, domum decoram ſibi ipſi, ad habitandum in nouitate. Nam ipſe tali ædificio non indigebat, ſed propter hominum vtilitatem ædificari præcepit. Templi verò formam, aurum, argentum, & vaſorum numerum Dauid Solomoni dedit, quemadmodum in libro Paralipomenon habetur. Dauid enim omnia in ſcripto, vel pictura, ex manu Domini Solomoni dedit. Dicit etiam, quod templum marmoribus variè fuerit diſtinctum. Lapides enim Onychis, & plenitudinis lapides multi precij habuit. Et iterum, lapidem precioſum, & Parios, magno numero.

In libro carminis.] Nam, vt dictum eſt, multi libri prophetici extabant, & hoc manifeſtè in libris Paralipomenon oſtendetur.

Septem

Septem dies, & ſeptem dies.] In feſto tabernaculorum conuocauit populum, feſtum igitur celebrarunt diebus quatuordecim. Septem quidem diebus, feſtum encæniorum; & ſeptem, tabernaculorum. Octauum igitur vocat illum, qui eſt poſt ſeptem vltimos dies.

CAP. IX.

Engaſion Gaber.] Hanc Beronicen dictam eſſe ſcribit Ioſephus. Eſt autem ciuitas maritima AEthiopum, ex illis, quæ AEgyptum reſpiciunt.

In Sophora.] Regio quædam eſt Indiæ, quam Geographi Chryſen appellant.

CAP. X.

Regina Saba.] Gens eſt Aethiopica, ſitam eſſe aiunt ad mare Indicum. Vocant autem Homeritas, ſunt ex aduerſo Axomitarum, medium autem inter illos mare eſt.

Ligna

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ ἡμέρας.] Ἐν τῇ τῆς σκηνοπηγίας ἑορτῇ συνεκάλεσε τὸν λαόν. ἐπανηγύρισαν γὰρ ιδʹ ἡμέρας, ἑπτὰ μὲν, τῶν ἐγκαινίων· ἑπτὰ δὲ, τῆς σκηνοπηγίας. ὀγδόην τίνην καλεῖ, τὴν μετὰ τὰς ἑπτὰ τὰς τελευταίας ἡμέρας.

ΚΕΦ. Θʹ.

Ἐν Γασιὼν Γαβέρ.] Ταύτην Ἰώσηππος τὴν καλουμένην Βερενίκην φησίν. ἐστὶ δὲ παραλία πόλις Αἰθιόπων τῶν πρὸς Αἰγύπτῳ.

Εἰς Σώφειρα.] Χώρα τίς ἐστι τῆς Ἰνδίας, ἣν οἱ γεωγράφοι Χρυσῆν ὀνομάζουσιν.

ΚΕΦ. Ιʹ.

Βασίλισσα Σαβά.] Ἔθνος ἐστὶν Αἰθιοπικόν. ἐντεῦθεν δὲ κεῖσθαι φασὶν αὐτοὺς τῆς θαλάττης τῆς Ἰνδικῆς. ὀνομάζουσι δὲ αὐτοὺς Ὁμηρίτας. καταντικρὺ δέ εἰσι τῶν Αὐξωμιτῶν. μέση δὲ τούτων κἀκείνων ἡ θάλαττα.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ξύλα πολλὰ σφόδρα πελέκητα.] Ἴσως τὰ λεῖα, καὶ ὄζων ἀπηλλαγμένα. Ἰώσηππος δὲ πεύκινα ταῦτά, φησι, μηδὲν τοῖς παρ' ἡμῖν ἐοικότα πευκίνοις. τοῦ συκίνου γὰρ ξύλου καὶ λευκότερα εἶναι, καὶ λειότερα, καὶ στρυφνότερα.

Καὶ νάβλας, καὶ κινύρας.] Ἀνὰ δέκα μὲν φθόγγους ἔχει τούτων ἑκάτερον. φασὶ δὲ τὴν μὲν νάβλαν δακτύλοις, τὴν δὲ κινύραν ἀνακρούεσθαι πλήκτρῳ.

Καὶ ναῦς ἐκ Θαρσὶς χρυσίου.] Ἐνταῦθα Ἰνδικήν τινα χώραν οὕτω ὠνόμαζεν. οἱ δὲ τὸν Ἰεζεκιὴλ ἑρμηνεύσαντες τὴν Καρχηδόνα τὴν τῆς Λιβύης προκαθημένην οὕτως ὠνόμαζαν.

ΚΕΦ. ΙΑ'.

Ἐθυμία, καὶ ἔθυεν τοῖς εἰδώλοις αὐτῶν.] Δῆλος ὁ λόγος, ὅτι αὐτὸς μὲν ᾠκοδόμησεν αὐταῖς τὰ τεμένη· ἐκεῖναι δὲ, τοῖς εἰδώλοις ἐλάτρευον.

Ἐκ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ligna multa, valde edolata.] Fortaſſis polita, à quibus rami reſecti fuerunt. Ioſephus autem abiegna hæc vocat, quæ nihil ſimile habeant cum noſtris abietibus, ſed ficulno magis alba, planiora, & duriora ſint.

Nablas, & citharas.] Vnumquodq́ue illorum inſtrumentorum decem ſonos habuit. Dicunt autem nablum digitis, citharam autem plectro tactam eſſe.

Et nauis auri ex Tharſis.] Regionem quandam Indiæ iſthic ſic appellant. Interpretes Ezechielis Carthaginem, quæ Libyæ adiacet, ſic nominarunt.

CAP. XI.

Adolebat, & ſacrificabat idolis ipſorum.] Oratio plana eſt, Solomonem quidem ædificaſſe ipſis delubra, ipſas verò idolis ſacrificaſſe.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ex manu filij tui accipiam illud.] Tu, dicit, habes patrem, qui tibi adiumento fuit, ille autem patris auxilio deſtitutus eſt.

Sceptrum vnum dabo filio tuo.] Addam, inquit, tribum Beniamin tribui Iudæ. rectè autem duas illas tribus coniunxit. Iuda enim proſapiam regiam habuit, tribus autem Beniamin templum Dei.

Vt voluntas ſerui mei Dauid.] Cum iam ante prouidiſſem Dauidis virtutem, delegi eum, & complacitum eſt mihi in eo, hoc enim appellat voluntatem, & conſtitui, vt ipſe, & genus ipſius, regnarent Hieroſolymis, vbi volui, vt nomen meum religioſè coleretur.

Quadraginta annis.] Ioſephus autem octoginta, inquit, annis regnauit Solomon, & obijt, natus annos nonaginta quatuor.

Parui-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν.] Σὺ μὲν γάρ, φησιν, ἔχεις ἐπικουροῦντα τὸν πατέρα· ἐκεῖνος δέ, πατρικῆς βοηθείας γεγύμνωται.

Σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου.] Προσθήσω, φησί, τὸν Βενιαμὶν τῇ τοῦ Ἰούδα φυλῇ· μάλα δὲ εἰκότως συνῆψε τὰς δύο φυλάς. τὸ μὲν γὰρ βασιλικόν, εἶχεν ἡ τοῦ Ἰούδα γένος· τὸν δὲ θεῖον νεών, ἡ τοῦ Βενιαμίν.

Ὅπως ἡ θέλησις, ἡ τῷ δούλῳ μου Δαβίδ.] Ἄνωθέν, φησι, προειδὼν τὴν τοῦ Δαβὶδ ἀρετήν, ἐξελεξάμην αὐτόν, καὶ εὐδόκησα ἐν αὐτῷ. τοῦτο γὰρ λέγει θέλησιν. καὶ ὥρισα αὐτόν, καὶ τὸ γένος αὐτοῦ, βασιλεύειν τῆς Ἱερουσαλήμ, ἐν ᾗ ἐβουλήθην τὸ ἐμὸν ὄνομα σέβεσθαι.

Τεσσαράκοντα ἔτη.] Ὁ δὲ Ἰώσηππος, ὀγδοήκοντα ἔτη, φησίν, ἐβασίλευσε Σολομῶν, καὶ ἐτελεύτησεν ἐτῶν ἐνενήκοντα τεσσάρων.

ΚΕΦ. ΙΒ'.

Ἡ μικρότης μου παχυτέρα ἐστὶν τῆς ὀσφύος τοῦ πατρός μου.] Ἐν Παραλειπομέναις σαφέστερον. ὁ βραχίταλός μου δάκτυλος παχύτερος τῆς ὀσφύος τοῦ πατρός μου ἐστίν· οὕτω δὲ καὶ ὁ Σύρος ἑρμήνευσε, καὶ Ἰώσηππος.

Ὅτι παρὰ κυρίου ἦν ἡ μεταστροφή.] Ὡς τὸ, ἐσκλήρυνε κύριος τὴν καρδίαν Φαραώ· ὅταν γὰρ ὁ θεὸς καταλείπῃ τινὰ, καθάπερ σκάφος ἀκυβέρνητον φέρεται. τοῖς δ' οὖν ἀνοήτοις χρησάμενος λόγοις, πληρωθῆναι παρεσκεύασε τοῦ θεοῦ τὴν ἀπόφασιν.

Θυγάτηρ Ἀνὰν, υἱοῦ Νάας, βασιλέως υἱῶν Ἀμμών.] Ἱκανὸν τοῦτο τὴν Ἰουδαίων βασιλείαν ἐντρέψαι, ὅτι ἐπ' εὐγενείᾳ βρενθύονται. καὶ τοὺς ἐξ ἐθνῶν τῷ σωτῆρι πεπιστευκότας ἀλλογενεῖς ὀνομάζουσιν. εὑρίσκεται γὰρ αὐτῶν καὶ τὸ βασιλικὸν γένος ἀλλόφυλον.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XII.

Paruitas mea craſſior eſt, lumbo patris mei.] In libro Paralipomenon planius dicitur, minimus meus digitus craſſior eſt lumbo patris mei. Sic etiam Syrus, & Ioſephus, interpretati ſunt.

Quia erat auerſio à Domino.] Quemadmodum illud: Indurauit Dominus cor Pharaonis. Si enim Dominus aliquem deſeruerit, quemadmodum nauis gubernatore deſtituta circumfertur. Stultis igitur ſermonibus vſus, effecit vt Dei prædictio impleretur.

Filia Annon, filij Naas, regis filiorum Ammon.] Iuſtum autem erat, vt per hoc regnum Iudæorum confunderetur. nam propter nobilitatem ſuperbiunt, & illos, qui ex gentilibus Seruatori crediderunt, alienigenas appellant. Videmus enim genus regium alienigenas etiam habuiſſe.

Et

Et egreſſus eſt Ieroboam ex Ægypto.] Bis idem ſæpenumero cogitur repetere, cum de duobus regnis diuiſis ſcribat. Fitq́ue ſæpenumero, quando de altero narrationem contexit, & ad alterum tranſitionem facit, vt ea, quæ modo dixit, denuò repetere, & perpetuum ordinem ſeruare, cogatur.

Ad Sameam Salamitem.] Quomodo ſupra Achian Siloniten dixit diſcidiſſe pallium, & decem ſciſſuras dediſſe Ieroboamo, hoc autem loco Samean Salamitem? Vtrumque factum eſt, illud quidem viuente Solomone, quare bona ſpe plenus Ieroboam in Ægyptum profugit, hoc verò, poſtquam inde reuerſus eſt, reuocans ipſi in memoriam diuinam prædictionẽ: vt, cum cognoſceret, regnum ſibi diuinitus collatum eſſe, diuinis legibus poteſtatem illam ornaret.

Et poſuit vnam in Bethel, & vnam in Dan.] Limes regni decem tribuum. Ab auſtro enim, Bethel limes erat; ab occaſu, Dan.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ ἐξῆλθεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου.] Δὶς τὰ αὐτὰ πολλάκις ἀναγκάζεται λέγειν, ἐπειδὴ περὶ δύο βασιλειῶν διῃρημένων συγγράφει. καί ἐστιν ὅτε πολλάκις περὶ τῆς ἑτέρας τιθεὶς διήγημα, καὶ πρὸς τὴν ἑτέραν μεταβαίνων, ἀναγκάζεται ἀναλαβεῖν τὰ ἤδη προειρημένα, καὶ τὴν ἀκολουθίαν φυλάξαι.

Πρὸς Σαμέαν τὸν Σαλαμίτην.] Πῶς ἄνω μὲν Ἀχίαν τὸν Σιλωνίτην εἶπε ῥῆξαι τὸ περιβόλαιον, καὶ δοῦναι δέκα ῥήγματα τῷ Ἱεροβοάμ· ἐνταῦθα δὲ, Σαμέαν τὸν Σαλαμίτην. ἑκάτερον γέγονε, τὸ μὲν, ζῶντος· ὅθεν μετὰ χρηστῆς ἐλπίδος Ἱεροβοὰμ εἰς τὴν Αἴγυπτον ἔφυγεν· τὸ δὲ, μετὰ τὴν ἐκεῖθεν ἐπάνοδον, ἀναμιμνῆσκον αὐτὸν τῆς θείας προῤῥήσεως. ὥστε μαθόντα θεόσδοτον εἶναι τὴν βασιλείαν τοῖς θείοις νόμοις κοσμῆσαι τὴν ἐξουσίαν.

Τὴν μίαν ἐν Βεθὴλ, καὶ τὴν μίαν ἔδωκεν ἐν Δάν.] Ὅριον τῆς τῶν δέκα φυλῶν βασιλείας. ἀπὸ νότου μὲν, ἡ Βεθήλ. ἀπὸ Βοῤῥᾶ δὲ, ἡ Δάν.

ἢ Δάν. ἵνα οἱ μὲν πρὸς ταύτην, οἱ δὲ πρὸς ἐκείνην συντρέχοντες, καὶ διὰ τὸ πελάζειν μὴ δυσχεραίνοντες, ἄσμενοι δέξωνται τὸ μὴ τρέχειν εἰς τὴν μητρόπολιν.

Κατὰ τὴν ἑορτὴν, τὴν ἐν τῷ Ἰούδᾳ.] Τῇ πεντεκαιδεκάτῃ τοῦ ἑβδόμου μηνὸς ἐπιτελεῖν εἰώθεισαν κατὰ τὸν νόμον τῆς σκηνοπηγίας τὴν ἑορτήν. οὗτος δὲ τῇ πεντεκαιδεκάτῃ τοῦ ὀγδόου μηνὸς τῶν δαμάλεων ἐπετέλεσε τὴν πανήγυριν.

ΚΕΦ. ΙΓ΄.

Καὶ προφήτης ἄλλος πρεσβύτης.] Τοῦτον τινὲς ψευδοπροφήτην νομίζουσι. μήποτε δὲ τοῦ θεοῦ μὲν ἦν προφήτης, ψευδέσι δὲ λόγοις ἐχρήσατο περὶ τὸν ἄνθρωπον τοῦ θεοῦ, οὐ βλάψαι θέλων, μεταλαβεῖν δὲ τῆς εὐλογίας; τοιγαροῦν ὁ θεὸς δι' αὐτοῦ προεῖπε τῷ ἀνθρώπῳ τοῦ θεοῦ τὸ ἐσόμενον. καὶ τοῖς δὲ περὶ τοῦ Ἰωσίου προῤῥηθεῖσιν ἐπίστευσε, καὶ σὺν ἐκείνῳ ταφῆναι προσέταξεν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Dan. Vt hi quidem ad hanc, illi verò ad illam concurrerent. Et quia loca propinqua erant, non ægrè ferrent, ſed boni conſulerent, quod in metropolim non eſſet eundum.

Iuxta feſtum, quod in terra Juda.] Decima quinta die ſeptimi menſis feſtum tabernaculorum iuxta legem celebrare conſueuerant. Ille verò, decimo quinto die octaui menſis vitulorum panegyrim celebrauit.

Cap. XIII.

Et propheta alius ſenex.] Hunc quidam pſeudoprophetam fuiſſe exiſtimant. Certè, nequaquam Dei propheta erat. Vanis autem ſermonibus vſus eſt ad virum Dei: noluit nocere, ſed benedictionis particeps eſſe. Igitur Deus per illum ipſum viro Dei prædixit, quid euenturum eſſet. Qui vaticinijs de Ioſia fidem adhibuit, &, vt cum illo ſepeliretur, mandauit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et mentitus eſt ei.] Huius rei gratia fortaſſis pſeudopropheta, confingens diuinas voces ſtudio benedictionis.

Et occidit eum.] Docet hac narratione, potentes potenter inquiri. Non enim illum, qui diuinam vocem audiuerat, vel tantillum à homine moueri, & in errorem impelli oportebat: ſed DEI vocem iterum exſpectare, infringentem illa, quæ ante præceperat. Veriſimile autem eſt, ad confirmationem vaticinij de altari Dei, prophetam hac pœna eſſe affectum. Si enim tam ſeueriter animaduertit in illum, qui contra mandatum cibum ſumpſerat, quanto magis, idola animalium rationis expertium ipſi opifici præferre, pœnam meretur? Significat autem triſtis hic caſus prophetæ, reſurrectionem ex mortuis. Manifeſtum enim eſt illum, qui viuentem adhuc obiecit beſtiæ, mortuum verò honore dignatus eſt, non animo quidem, ſed corpore tantum, non neglecturum id, quod ſolutum, & corruptum eſt.

Reddet

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ ἐψεύσατο αὐτῷ.] Κατὰ τοῦτο ἴσως ψευδοπροφήτης, διαπλάσας θείας φωνὰς τῇ τῆς εὐλογίας ἐπιθυμίᾳ.

Καὶ ἐθανάτωσεν αὐτόν.] Διδάσκει διὰ τοῦ διηγήματος, ὡς δυνατοὶ δυνατῶς ἐτασθήσονται. οὐ γὰρ ἔδει τὸν θείας ἀκηκοότα φωνῆς, καὶ μηδὲν ὑπ' ἀνθρώπου παρατραπῆναι, θεοῦ δὲ πάλιν ἀναμεῖναι φωνὴν, ἃ προσέταξε λύουσαν. εἰκὸς δὲ καὶ πρὸς βεβαίωσιν τῆς περὶ τοῦ θείου θυσιαστηρίου προρρήσεως τήνδε γενέσθαι τὴν τιμωρίαν. εἰ γὰρ τροφῆς μετάληψις οὕτως ἐκδικεῖ τὴν παράβασιν, πόσῳ μᾶλλον τὸ τοῦ δημιουργοῦ προτιμῆσαι τὰ εἴδωλα, ζώων ἀλόγων ἰνδάλματα; μηνύει δὲ τοῦ προφήτου τὸ πάθος τῶν νεκρῶν τὴν ἀνάστασιν. ὁ γὰρ περιόντα μὲν ἐκδεδωκὼς τῷ θηρίῳ, τελευτήσαντος δὲ ἀξιώσας τιμῆς, οὐ τὴν ψυχὴν, ἀλλὰ μόνον τὸ σῶμα· δῆλον ὡς οὐ περιόψεται διαλυθὲν, καὶ φθαρέν.

ἀποδώσει δὲ τῇ ψυχῇ τὸ ὄργανον, δι' οὗ τὸν ποιητὴν τεθεράπευκεν. ἄνθρωπος μέντοι θεοῦ οὐ πᾶς προφήτης ὠνόμασται, ἀλλ' οἱ τελείαν τὴν ἀρετὴν κεκτημένοι, Μωϋσῆς, καὶ Ἠλίας, καὶ εἴ τις τοιοῦτος. δηλοῖ τοίνυν ἡ προσηγορία, ὡς τοῦ πρεσβύτου προφήτου πολὺ τιμιώτερος ἦν.

ΚΕΦ. ΙΔ'.

Καὶ σύνδεσμος γέγονεν ἐν τῇ γῇ.] Οὕτω καὶ Ἰεζάβελ, τοῦ Ἰωρὰμ μαθοῦσα τὴν τελευτὴν, καὶ τὴν Ἰοὺ βασίλειαν, ἐβόησε. σύνδεσμος, σύνδεσμος. τουτέστιν, ἀποστασία, καὶ τυραννίς.

Εἰς τὸ Θεκουέ.] Ἐν τῷ λεξικῷ τῶν Ἑβραϊκῶν ὀνομάτων ἑρμηνεύεται ὁ σαλπισμός. ἐξ ὧν δέ, φησιν, ἐν Παραλειπομένοις ἔοικε δηλοῦν, ὡς ἐδίδοντο ταῦτα τοῖς τὰς θύρας τῶν βασιλείων φυλάττουσιν· προϊόντος δὲ τοῦ βασιλέως, οἱ μὲν τούτων, ἡγοῦντο· οἱ δέ, παρέ-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Reddet autem animæ organum per quod conditorem coluit. Non autem quiuis propheta vir Dei vocatus eſt, ſed qui perfectam virtutem nacti ſunt, Moyſes, Helias, & ſi qui tales fuerunt. Significat igitur hæc appellatio, hunc virum ſene illo propheta multo fuiſſe præſtantiorem.

Cap. XIV.

Et coniuratio fuit in terra.] Sic etiam Iezabel, cum intellexiſſet quod interfectus eſſet Ioram, & Ioas regnaret, exclamauit, conſpiratio, hoc eſt, defectio, & violentia.

In Thecoe.] In Dictionario Hebraico exponitur pulſatio, & clangor tubarum. Ex illis verò, quæ liber Paralipomenon habet, videtur ſignificare, quod hæc data ſint illis, qui fores regij palatij cuſtodiebant. Cum verò rex prodiret, horum aliqui præcedebant eum, aliqui

verò

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

verò iuxta currebant. Quando verò in templum veniebant, occurrebant eis cuſtodes, qui à templo reuertebant, & accipiebant hæc ab ipſis, & habentes ante portam templi ſtabant, vt hæc arma ante fores manerent. Qui autem illa ferebant, cum rege Deum adorabant. Probabile etiam eſt, domum ante fores fuiſſe, vt arma ferentes, arma ibi reponerent. quidam haſtatorum ſatellitum ante orabant, & ante templum aduentum regis præſtolabantur. Qui etiam deducentibus regem occurrentes, & manus inijcientes, arma eis eripiebant.

CAP. XV.

Quia propter Dauid dedit ei Dominus Deus reliquias in Hieruſalem.] Cauſam oſtendit, propter quam etiam impij reges regnum obtinuerunt, propter patrem, &

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

παρέτρεχον. ἡνίκα δὲ εἰς τὸν νεὼν παραγί-
νοντο, ἀπήντων οἱ ἀποστρέφοντες ἀπὸ τοῦ ναοῦ
φύλακες, καὶ ἐδέχοντο ταῦτα παρ' αὐτῶν,
καὶ ταῦτα κατέχοντες, πρὸ τῆς πύλης ἐστήκει-
σαν τοῦ ναοῦ. ἵνα τὰ μὲν ὅπλα μείνῃ πρὸ τῶν
θυρῶν, οἱ δὲ ταῦτα κομίζοντες, σὺν τῷ βα-
σιλεῖ τὸν θεὸν προσκυνήσωσιν. εἰκὸς δὲ καὶ
οἶκον γεγενῆσθαι πρὸ τῶν θυρῶν, ὥστε τοὺς
ὁπλοφόρους ἐκεῖ τὰ ὅπλα κατατίθεσθαι. *
* * ἐῴκεσαν * τῶν δορυφόρων
τινὲς προλαμβάνοντες προσκυνεῖν, καὶ περι-
μένειν πρὸ τοῦ νεὼ, παρατηροῦντες τὴν ἄφιξιν
τοῦ βασιλέως. οἱ καὶ τοῖς προπέμπουσιν αὐτὸν
προαπαντῶντες, καὶ χεῖρας ἐπιτιθέντες, ἀ-
φώπλιζον αὐτοὺς, ὡς συνεισιόντας τῷ βασι-
λεῖ, καὶ ἀπετίθεντο μέχρι πάλιν ἐξίοι.

ΚΕΦ. ΙΕʹ.

Ὅτι τῷ Δαβὶδ δέδωκεν αὐτῷ κύριος
κατάλειμμα ἐν Ἱερουσαλήμ.] Αἰτίαν ἀπέ-
δωκε, δι' ἣν ὄντες ἀσεβεῖς ἐβασίλευσαν, ὡς

αὖ διὰ τὸν πρόγονον διαρκέσαντες. τοῦ μέντοι Ἀβία τὰ πρῶτα, τῶν Παραλειπομένων ἡ βίβλος ἐπῄνεσε· τῶν δὲ τελευταίων, συμφώνως τοῖς νῦν κατηγόρησεν.

Τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρεν.] Τὰ τῷ θεῷ ἐν ὑψηλοῖς ἀνακείμενα θυσιαστήρια.

Δεῦρο, διασκέδασον τὴν διαθήκην σου.] Καταλιπὼν τὸν θεὸν, τὴν τῶν Σύρων ἠσπάσατο συμμαχίαν.

Ἐποίησεν Ἀσὰ τὸ πονηρὸν ἐνώπιον κυρίου.] Σαφέστερον ἐν Παραλειπομέναις. ἐν γὰρ τῇ ἀῤῥωστίᾳ, φησὶν, αὐτοῦ οὐκ ἐζήτησε τὸν κύριον. ἀλλὰ τοὺς ἰατροὺς, καὶ τοὺς ἐπῳδαῖς, ἢ μαγγανείαις, κεχρημένους, οὕτω καλεῖ. ἢ ὅτι τὸ πᾶν ἐπίστευσε τοῖς ἰατροῖς, τὴν εἰς θεὸν οὐκ ἔχων ἐλπίδα δηλοῖ. ἐκ θεοῦ γὰρ καὶ τέχναι, καὶ βοτάναι. καὶ μετὰ τῆς εἰς αὐτὸν πίστεως ταῦτα καλὰ ὑπουργοῦντα τοῖς προσήκουσιν αὐτῷ· χωρὶς δὲ ταύτης, ἀνόνητα.

prædeceſſorem, perdurarunt. Initium regni Abiæ, liber Paralipomenon celebrauit; finis ſimiliter, etiam quemadmodum hoc loco, vituperatur.

Excelſa autem non ſuſtulit.] Altaria in excelſis conſtructa.

Age, diſſipa pactionem tuam.] Relicto Deo, ſocietatem bellicam Syrorum cupidè amplexus eſt.

Fecit Aſa malum coram Deo.] Id planius in libro Paralipomenon habetur. Nam in morbo ſuo, dicit, non quæſiuit Dominum, ſed medicos. Cæterùm illos, qui incantamentis, & veneficijs vſi ſunt, ſic appellat. Vel oſtendit, quod ſe totum medicis commiſerit, nec ſpem in Deo collocauerit. Nam ex Deo ſunt artes, & herbæ; &, ſi fide in ipſum applicentur, ad bonum inſeruiunt illis, qui amici ipſius ſunt: abſque illa fide inutiles ſunt, & ſuperuacaneæ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XVI.

Ingreſsus eſt Sambri, & percuſſit eum.] Ad malos enim puniendos malis vtitur Dominus, & malum peiori tradit, & veluti carnificibus quibuſdam ipſis vtitur.

Domini montis Somoron.] A Semer mons Somoron appellatus eſt. A monte verò vrbs Samaria, quæ nunc Sebaſte appellatur, in qua decem tribuum regia erat. cùm autem ipſi in ſeruitutem abrepti eſſent, & terra illa eſſet vaſtata, reges Aſſyriorum alios incolas in has partes traduxerunt, quos à Samaria Samaritanos vocabant.

In libro verborum dierum regum Iſrael.] Præſens hiſtoricus, & qui libros Paralipomenon conſcripſit, ex illis libris ſcribendi occaſionem habuerunt. omnia enim conſignabantur.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΚΕΦ. Ιϛ΄.

Καὶ εἰσῆλθε Ζαμβρεὶ, καὶ ἐπάταξεν αὐτόν.] Τοὺς πονηροὺς γὰρ δι' ἀλλήλων ὁ δεσπότης κολάζει θεὸς, καὶ τῷ πονηροτέρῳ τὸν πονηρὸν παραδίδωσιν, οἷον τισὶ δημίοις κεχρημένος αὐτοῖς.

Τοῦ κυρίου τοῦ ὄρους Σομόρων.] Ἀπὸ τοῦ Σεμὴρ τὸ ὄρος ἐκλήθη Σομόρων. ἀπὸ δὲ τοῦ ὄρους, ἡ πόλις Σαμάρεια, ἡ νῦν Σεβάστη προσηγορευομένη. ἐν ᾗπερ ἦν τῶν δέκα φυλῶν τὰ βασίλεια. ἐξανδραποδισθεισῶν δὲ τούτων, καὶ τῆς γῆς ἐκείνης ἐρήμου γεγενημένης, οἱ τῶν Ἀσσυρίων βασιλεῖς ἐποίκους εἰς ταύτας ἐξέπεμψαν, οὓς ἐκ τῆς Σαμαρείας Σαμαρείτας ὠνόμαζον.

Ἐπὶ βιβλίου λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσραήλ.] Ἐκ τούτων, καὶ ὁ παρὼν συγγραφεὺς, καὶ ὁ τῶν Παραλειπομένων, ἔσχον τὰς ἀφορμάς. πάντα γὰρ συνεγράφετο.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ συνέθετο Ἰωσαφάτ.] Ἠπάσατο τοῦ Ἀχαὰβ τὴν συγγένειαν, ὡς ἐν Παραλειπομέναις φησίν.

Καὶ ἐδούλευσε τῷ Βαάλ.] Τυρίων οὗτος θεὸς, ὡς εἶπεν Ἰώσηππος· ἡ δὲ Ἀστάρτη, Σιδωνίων· ταύτῃ καὶ τὰ ἄλση συνετίθεσαν. Ἀστάρτη δέ ἐστιν, ἡ παρ' Ἕλλησιν Ἀφροδίτη.

ΚΕΦ. ΙΖ΄.

Ὧι παρέστηκα ἐνώπιον αὐτοῦ σήμερον.] Οὐ μετρεῖ τὸν παρόντα, ἀλλ' ὡς ἀεὶ καταβαλλόμενος ἀρχὴν καθ' ἡμέραν ἐσπούδαζεν εὐαρεστεῖν τῷ θεῷ, καὶ παριστᾶν ἑαυτὸν καθαρὸν τὴν καρδίαν, ἕτοιμον ὑπακούειν τῷ βουλήματι τοῦ θεοῦ.

Ἐὰν μὴ διὰ λόγου στόματός μου.] Οἱ πάντα τολμῶντες, τὴν Ἠλιοῦ φωνὴν τολμηρὰν ἀπεφήναντο· προφήτης γὰρ ἦν, καὶ προφητῶν ἄκρος, καὶ τῷ θείῳ πυρπολούμενος ζήλῳ. καὶ ταῦτα τοῦ θείου πνεύματος ἐνεργοῦντος εἴρηκεν, ὅθεν καὶ πέρας ἐδέξατο.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et pactus eſt Ioſaphat.] Contraxit affinitatem cum Ioſaphat, quemadmodum in libro Paralipomenon extat.

Seruiunt Baal.] Tyriorum iſte Deus fuit, vt dicit Ioſephus; Aſtarte autem, Sidoniorum. Huic etiam lucos plantarunt. Eſt autem Aſtarte eadem, quę apud Gręcos Venus.

Cap. XVII.

Cui aſtiti coram eo hodie.] Non metitur tempus præſens, ſed, quaſi quotidie conſtituens initium, dedit operam, vt Deo placeret, &, vt illi ſeipſum mundum corde præberet, & promptum ad obediendum voluntati ipſius.

Niſi per os ſermonis mei, &c.] Qui omnia audent, illam vocem Heliæ audacem, & temerariam, eſſe dixerunt. Propheta enim erat, & ſummus inter prophetas, & diuino zelo accenſus. Atque hæc impulſu ſpiritus ſancti protulit, vnde ſuum etiam euentum habuerunt.

Et

Et corui ferebant ei panes.] Et quomodo legem non tranſgreſſus eſt, per auem immundam nutritus? Quia ipſe legiſlator per coruos cibum ipſi attulit, quemadmodum ille pollicitus eſt, qui docet, legem propter Iudæorum infirmitatem poſitam eſſe. Quare ipſe aliquando contra legem facere præcepit. Veluti in obſidione Ioricho, quæ ſabbatho facta eſt, & nunc per coruos Heliam paſcens: aliquando verò illos, qui huiuſcemodi præcepta tranſgreſſi ſunt, non reprehendit. Samſon enim, propter ebrietatem, & immodicam libidinem, priuatus eſt gratia DEI. ſed, cum ex mortuo leone mel ſylueſtre comediſſet, reprehenſionem non incurrit, & accedentes ad ſanctos in luctam dæmones, intelligibilis alimoniæ cauſa fiunt, dum ipſi corde firmantur, & habitu exercentur. quorum eſt firma alimonia, & athletica. qui habitus poſteà fit in nobis poſt luctas multas pomeridiano tempore.

In Sarephtha Sidoniæ.] Et quare ad alienige-

Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους.] Καὶ πῶς οὐ παρενόμει δι' ἀκαθάρτου ζώου τρεφόμενος; ὅτι περ ὁ νομοθέτης διὰ τούτων αὐτῷ προσέφερε τὴν τροφὴν, ὥσπερ ὑπέχετο, διδάσκων ὡς ὁ νόμος πρὸς τὴν τῶν Ἰουδαίων αὐθένταν ἐκεῖτο· διὸ ποτὲ μὲν αὐτὸς παραβῆναι προσέταξεν, ὡς ἐπὶ τῆς ἐν σαββάτῳ πολιορκίας Ἰερειχοῦς, καὶ νῦν διὰ κοράκων τρέφων Ἠλίαν· ποτὲ δὲ τοῖς τὰ τοιαῦτα παραβαίνουσι μὴ μεμφόμενος. Σαμψὼν γὰρ διὰ μὲν τὴν μέθην καὶ τὴν λαγνείαν ἐγυμνώθη τῆς χάριτος. φαγὼν δὲ τὸ ἐκ τοῦ νεκροῦ λέοντος μέλι, κατηγορίας οὐκ ἔτυχεν. καὶ τοῖς ἁγίοις δὲ προσιόντες εἰς πάλην οἱ δαίμονες, νοητῆς τροφῆς αἴτιοι γίνονται, στηριζομένοις αὐτοῖς τὴν καρδίαν, καὶ γυμναζομένοις τὴν ἕξιν. ὧν ἐστὶν ἡ στερεὰ τροφὴ καὶ ἀθλητική. ἥ τις ἕξις ἡμῖν μετὰ πολλὰς ἐπιγίνεται πάλας τὸ δειλινόν.

Εἰς Σαρεφθὰν τῆς Σιδωνίας.] Καὶ διὰ

τί πρὸς ἀλλόφυλον; τῆς αὐτῆς αἰτίας καὶ τοῦτο. κεκώλυκε γὰρ τὴν πρὸς ἀλλοφύλους ἐπιμιξίαν, διὰ τὴν τῶν Ἰουδαίων ἀσθένειαν, ἣν ἂν ἐπέτρεψεν, εἰ ἑβραῖοι ὄντες ὠφελεῖν ἐκείνους ἠδύναντο. καθάπερ ὁ προφήτης Ἡλίας. ταύτην γὰρ ἐν τῷ νόμῳ τῆς ἀμιξίας αἰτίαν φησὶ, τὸ μὴ ἐκπορνεῦσαι πρὸς τοὺς θεοὺς αὐτῶν, ἢ τοὺς υἱοὺς τοὺς ἐξ Ἰσραὴλ, ἢ τὰς θυγατέρας, γινομένης ἐπιγαμίας. ἀλλὰ καὶ διὰ τῶν ἔργων ἠθέλησε Ἡλία δεῖξαι δαπανωμένην τὴν ἀνθρωπότητα· πρῶτον μὲν εἰς χειμάῤῥουν αὐτὸν ἀγαγὼν, καὶ ποιήσας ξηρόν. εἶτα πρὸς χήραν μιᾶς ἡμέρας ἔχουσαν βίον. ἐστὶ δὲ καὶ τύπος τῆς ἐξ ἐθνῶν ἐκκλησίας, δεξαμένη πιστῶς τὸν ὑπὸ Ἰσραηλιτῶν διωκόμενον, ὥσπερ ἐκείνη τοὺς Ἀποστόλους.

Ζῇ κύριος ὁ θεός σου.] Εὖγε τῆς πραότητος. οὐκ ἐδυσχέραινεν ἐν τοσαύταις συμφοραῖς αἰτηθεῖσα τροφήν. ἀλλὰ μόνον ἔδειξε τὴν ἐσχάτην πενίαν, καὶ τὴν ἐπαγγελίαν

nigenam, eiuſdem enim culpæ etiam hoc fuit? Deus enim conuerſationem cum alienigenis prohibuerat propter Iudæorũ imbecillitatem, quam eis permiſiſſet, ſi firmi exiſtentes ipſis prodeſſe potuiſſent, quemadmodum Helias propheta. Hanc enim in lege vitandi commercij alienigenarum cauſam adfert, ne fornicentur cum Dijs ipſorum, aut filij Iſrael vel filiæ nuptijs cum impijs contractis ſeducantur. Cæterùm reipſa etiam Heliæ oſtẽdere voluit, quàm indiga ſit rerum omnium humana natura, primum enim ad torrentem ipſum deducens & exiccans eum. Deinde ad viduam vnius diei victum habentem. Eſt etiam typus Eccleſiæ collectæ ex gentibus vera fide illum excipiens, qui perſequutionem ab Iſraelitis ſuſtinebat, quemadmodum illa Apoſtolos.

Viuit Dominus DEVS *tuus.*] Euge magnæ bonitatis, non ægrè tulit, quod in tantis calamitatibus cibus ab ipſa peteretur. Sed tantum extremam paupertatẽ oſten-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

dit, & promiſſionem firma fide accipiens cibum attulit, atque hoc fecit, cum hominem non nouiſſet, alienigena enim erat, & virtutis propheticæ nullam experientiam ſumpſerat.

Quid mihi, & tibi homo DEI.] Propheta cum affatim cibo refectus eſſet, calamitatem aliorum hominum obliuiſcitur. Quamobrem DEVS viduæ fletibus eum adoritur. Agnouit etiam ipſe cauſam, dicit enim heu mihi, Domine teſtis viduæ, & cætera. Porrò verba viduæ digna ſunt admiratione. Tua luce, inquit, retecta ſunt, occulta mea peccata, & non, vt alienigena, ingreſſum prophetæ malum omen fuiſſe interpretata eſt, ſed ſuis peccatis mortem pueri adſcripſit. Atque ſic ex prophetæ doctrina fructum percepit. Fortaſſis etiam in bonum viduæ puer mortuus eſt, vt ſi videret pueri reſurrectionem, quæ contra naturam eſt, ſolidam pietatem, & fidem reciperet.

Et

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

γελίαν πιστῶς δεξαμένη προσήνεγκε τὴν τροφὴν, καὶ ταῦτα οὐκ εἰδυῖα τὸν ἄνθρωπον. ἀλλόφυλος γὰρ ἦν, προφητικῆς δυνάμεως πεῖραν οὐ δεδεγμένη.

Τί ἐμοὶ καὶ σοι ἄνθρωπε τοῦ θεοῦ;] Ἀφθόνως ὁ προφήτης ἀπολαύων τῆς τροφῆς, τῆς τῶν ἄλλων ἀνθρώπων ἐπελάθετο συμφορᾶς. οὗ δὴ χάριν ὁ δεσπότης αὐτῷ τὰς τῆς χήρας ἐπεστράτευσεν οἰμωγάς. ἐπέγνω δὲ καὶ αὐτὸς τὴν αἰτίαν. οἴμοι γάρ, φησι, κύριε ὁ μάρτυς τῆς χήρας, καὶ τὰ ἑξῆς. ἀξιάγαστα δὲ τῆς χήρας τὰ ῥήματα. τῷ σῷ φωτί, φησιν, ἐγυμνώθη τὰ κεκρυμμένα μου πλημμελήματα, καὶ οὐχ ὡς ἀλλόφυλος τὴν εἴσοδον οἰωνίσατο τὴν αὐτοῦ, ἀλλὰ ταῖς ἰδίαις ἐπέγραψεν ἁμαρτίαις. οὕτω τὴν τοῦ προφήτου διδασκαλίαν ὠφέλητο. ἴσως καὶ δι' αὐτὴν ἡ τοῦ παιδὸς γέγονε τελευτὴ, ἵνα θεασαμένη τὴν παρὰ φύσιν ἀνάστασιν, βεβαίαν δέξηται τὴν εὐσέβειαν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ ἐνεφύσησε τῷ μειρακίῳ τρίτον.] Μετὰ τὴν προσευχὴν τρὶς ἐμφυσήσας εἰς ζωὴν ἐπανήγαγε τὸ μειράκιον. δηλοῖ δὲ ὁ μὲν ἀριθμὸς τὴν προσκυνουμένην τριάδα. τὸ δὲ ἐμφύσημα τὴν ἐν ἀρχῇ τῆς ψυχῆς γεγενημένην δημιουργίαν. ἀλλ' ὁ προφήτης ἐμφυσήσας οὐκ ἄλλην ψυχὴν ἐδημιούργησεν, ἀλλὰ τὴν χωρισθεῖσαν τοῦ σώματος ἐπανήγαγεν.

ΚΕΦ. ΙΗ'.

Πορεύθητι, καὶ ὄφθητι τῷ Ἀχαάβ.] Ὁ φιλάνθρωπος θεὸς τῶν ἀνθρώπων τὸ γένος ὁρῶν διολλύμενον, καὶ τὸν προφήτην αἰτῆσαι τὸν ἔλεον οὐκ ἐθέλοντα, καὶ τοῦ μὲν οἰκτεῖραι θέλων, τοῦ δὲ παρὰ γνώμην λῦσαι τὴν ψῆφον οὐκ ἀνεχόμενος, ἔρχεται πρεσβευτὴς πρὸς τὸν οἰκέτην ὁ δεσπότης, πρὸς τὸν πηλὸν ὁ δημιουργὸς, καὶ πείθει λῦσαι τῶν νεφῶν τὰς ὠδῖνας τὴν πεδήσασαν γλῶτταν.

Εἰ

Et inflauit puero ter.] Cum poſt orationem puero inflaſſet, in vitam eum reuocauit. ſignificat autem hic numerus adorandam Trinitatem. Inflatio autem illa, animæ creationem ab initio factam. Cærerùm cum propheta puero inflaſſet, non aliam animam produxit, ſed illam, quæ ab corpore receſſerat, ad corpus reuocauit.

Cap. XVIII.

Abi, & oſtende te Achabo.] Amans hominum Deus, cum videret perire genus humanum, neque prophetam implorare miſericordiam velle, cùm miſereri ipſe cuperet, neque tamen præter animi ſententiam decretum contra ipſos ſoluere ſuſtineret, venit legatus ad ſeruum Dominus, ad lutum opifex, & linguam ſoluere perſuadet, quæ nubium dolores vinciebat.

Si

Si eſt gens aut regnum.] Quoniam propheta dixerat ad Achab, viuit Dominus DEVS meus, ſi erit annis his pluuia, niſi per ſermonem oris mei. Et Achab reipſa expertus eſt prophetam verum dixiſſe, neceſſitate impulſus quærebat illum qui cœlum obſtruxerat, vt ſolueret, vel, vt eum occideret niſi obtemperaret.

Spiritus Domini feret te.] Verba ſunt viri meditantis diuina, & ſcientis potentiam & virtutem diuini ſpiritus.

Vſquequo claudicabitis in ambobus poplitibus.] Nam & Deum adorabant, & idola colebant. Deus autem non vult, dicit, vt falſi Dij colantur, neque illi volunt, vt verus Deus colatur. Vos autem, & hæc, & illa facientes, neque huic, neque illi ſeruatis fidem.

Et eligant ſibi ipſis vnum.] Quare permiſit, vt ſacerdotes Baal, pinguem bouem deligerent, & primi ſacrificium offerrent? Manifeſtum eſt illum, qui reuera DEVS eſt, nullius horum indigere. Illi autem dicturi

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Εἰ ἔστιν ἔθνος, ἢ βασιλεία.] Ἐπειδὴ ὁ προφήτης εἰρήκει τῷ Ἀχαάβ, ζῇ κύριος ὁ θεός μου, εἰ ἔσται τὰ ἔτη ταῦτα ὑετὸς, εἰ μὴ διὰ λόγου στόματός μου. λαβὼν τῆς τῶν λόγων ἀληθείας τὴν πεῖραν ὁ Ἀχαάβ, ἀναγκαίως ἐζήτει τὸν δήσαντα πρὸς λύσιν, ἢ πρὸς ἀναίρεσιν, εἰ μὴ πείθοιτο.

Καὶ πνεῦμα κυρίου ἀρεῖ σε.] Ἀνδρὸς ταῦτα μελετῶντος τὰ θεῖα, καὶ τοῦ θείου πνεύματος ἐπισταμένου τὴν δύναμιν.

Ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις.] Καὶ τὸν θεὸν γὰρ προσεκύνουν, καὶ τοῖς εἰδώλοις ἐλάτρευον. ὁ δὲ θεός, φησιν, οὐ βούλεται σὺν ψευδωνύμους τιμᾶσθαι θεοὺς, οὔτε αὐτοὶ τὸν ἀληθινὸν τιμᾶσθαι θεόν. ὑμεῖς δὲ καὶ ταῦτα κἀκεῖνα ποιοῦντες οὐδετέρῳ φυλάττετε πίστιν.

Καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν τόπον ἕνα.] Τίνος ἕνεκα τοῖς ἱερεῦσι τοῦ Βαὰλ τὸν πίονα βοῦν ἐκλέξασθαι καὶ πρώτοις ἐπιτελέσαι τὴν θυσίαν ἐπέτρεψεν; ἢ δῆλον ὡς ὁ μὲν ὄντως θεὸς οὐδενὸς τούτων ἐστὶν ἐνδεής.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

δείς. οἱ δὲ λέγειν ἤμελλον, ὡς χαλεπαίνων ὁ Βαὰλ, ὡς μὴ προληφθεὶς, οὐκ ἐδέξατο τὴν θυσίαν.

Καὶ ᾠκοδόμησε τοὺς λίθους.] Καὶ πῶς τοῦ νόμου διαγορεύοντος ἐν ἑνὶ τρόπῳ λατρεύειν, ὁ Ἡλίας ἐν τῷ Καρμήλῳ θυσιαστήριον ᾠκοδόμησε; δικαίῳ νόμος οὐ κεῖται, κατὰ τὸν θεῖον Ἀπόστολον. ἀνόμοις δὲ, καὶ ἀνυποτάκτοις. οἵους εἶναι συνέβαινε τοὺς ἐξ Ἰσραήλ. καὶ τοῦ πανταχοῦ θύειν εἴπερ ἔλαβον ἄδειαν, ἤμελλον λατρεύειν τοῖς δαίμοσιν. ὁ δὲ προφήτης βουλόμενος δεῖξαι καὶ τοῦ θεοῦ τὸ δυνατὸν, καὶ τῶν δαιμόνων τὸ ἀσθενὲς, ἐπειδὴ διῃρημένης τῆς βασιλείας οὐχ οἷός τε ἦν ἄγειν τοὺς παρόντας εἰς τὸν ἐν Ἱεροσολύμοις νεὼν, ἀναγκαίως ἦλθεν ἐπὶ τὸν Κάρμηλον, ἔνθα τὰς πλείονας ἐποιεῖτο διατριβάς.

Ἐποίησε Θααλά.] Ἰώσηππος, δεξαμενήν.

Τρισσεύσατε.] Τῆς προσκυνητῆς τριάδος πάλιν ἐμφαίνει τὸν ἀριθμόν.

Καὶ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

dictúri erant Baal non accepiſſe ſacrificium, propterea quod egrè tulerit, ſe alteri non prælatum fuiſſe.

Et ædificauit altare.] Quomodo cum lex præcipiat, vt vnico in loco ſacrificia offerantur, Helias in Carmelo altare extruxit? Iuſto lex non eſt poſita, iuxta diuũ Apoſtolum: ſed iniquis & immorigeris, quales Iſraelitas eſſe contigit, qui vbique ſacrificaturi erant, ſi impunitatem adepti fuiſſent, & etiam dæmones culturi. Propheta autem volens oſtendere non ſolum Dei virtutem & potentiam: ſed etiam dæmonum imbecillitatem: cum diuiſo regno illos qui præſentes erant, in templum Hieroſolymitanum deducere non potuit, neceſſitate adactus, venit in Carmelum, ibi plures diſputationes habebat.

Fecit Thaala.] Ioſephus, δεξαμενήν, canalem.

Tertio ſic facite.] Iterum oſtendit numerum adorandæ Trinitatis.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et lapides, & puluerem elinxit ignis.] Ne altare Dei dedecore afficeretur, cum impij ſacrificia dæmonibus offerrent.

CAP. XIX.

Et timuit Helias.] Quomodo cum tantam haberet potentiam & virtutem? Quia non ſolum propheta erat, ſed etiam homo. Præterea metus hic diuinæ diſpenſationis fuit. Etenim ne tam miraculoſi operis magnitudo eum inſolentem redderet, gratia DEI metum ei indidit, vt ſuam imbecillitatem cognoſceret.

Ecce Dominus tranſibit.] Docuit Heliam manſuetudine & longanimitate excellere, & probauit genus hominum. Item, quod facile ſibi ſit & fulmina demittere, & terram concutere, eamque impijs repente ſepulchrum oſtendere, & ſpirituum vi omnia

se velle regere

perde-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Καὶ τοὺς λίθους, καὶ τὸν χοῦν ἐξέλιξε τὸ πῦρ.] Ὥστε μὴ καθυβρισθῆναι τὸ θεῖον θυσιαστήριον, τῶν δυσσεβῶν ἐκείνων προσφερόντων θυσίας τοῖς δαίμοσιν.

ΚΕΦ. ΙΘ΄.

Καὶ ἐφοβήθη Ἠλίας.] Καὶ πῶς, τοσαύτην ἔχων τὴν δύναμιν; ὅτι οὐ μόνον προφήτης, ἀλλὰ καὶ ἄνθρωπος ἦν. ἄλλως τε καὶ τῆς θείας ἦν οἰκονομίας τὸ δέος. ἵνα γὰρ μὴ τῆς θαυματουργίας τὸ μέγεθος ἐπάρη τὸ φρόνημα, ἐνδέδωκεν ἡ χάρις τῇ φύσει τὴν δειλίαν εἰσδέξασθαι, ὡς ἂν ἐπιγνῷ τὴν οἰκείαν ἀσθένειαν.

Ἰδοὺ κύριος παρελεύσεται.] Ἐδίδαξε τὸν Ἠλίαν ὡς ἡμερότητι καὶ μακροθυμίᾳ πρυτανεύειν, ἐδοκίμαζε τῶν ἀνθρώπων τὸ γένος. καὶ ὅτι ῥᾴδιον ἦν αὐτῷ, καὶ κεραυνοὺς ἐπιπέμψαι, καὶ κλονῆσαι τὴν γῆν, καὶ τοῖς ἀσεβέσιν ἀποδεῖξαι τάφον αὐτὴν αὐτοσχέδιον, καὶ βίᾳ πνευμάτων ἀπολέσαι τὸ πᾶν.

ἀλλ' ἡ μακροθυμία μοι φίλη φησίν. ἕκαστον δὲ τῶν ἄλλων ἡ πονηρία τῶν ἀνθρώπων ἐφέλκεται. ὅτι δὲ οὐ πῦρ ὁ τῆς παλαιᾶς θεός, Ἠλίας διδάσκεται, καὶ δι' αὐτοῦ πάντες ἡμεῖς. ἀλλ' οὐδὲ αὔρα λεπτή. δι' αὔρας δὲ λέγεται παρεῖναι λεπτῆς. ἐπεὶ γὰρ ἐν γνόφῳ καὶ πυρὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐπεφάνη, τὸν Ἠλίαν αἴρων τῶν ὑψηλοτέρων χωρητικόν, ἐπὶ τὴν τοῦ ἀσωμάτου τούτου ἀνήγαγεν ἔννοιαν, ἀπὸ σεισμοῦ καὶ πνεύματος καὶ πυρὸς ἐπὶ λεπτὴν αὔραν. ὅπερ ἐγγὺς ἂν εἴη τῆς τοῦ σωτῆρος φωνῆς, τὸ πνεῦμα ὁ θεός.

Καὶ ἔρριψεν ἐπ' αὐτὸν τὴν μηλωτὴν αὐτοῦ.] Τί δήποτε τὸν Ἀζαὴλ, καὶ τὸν Ἰηοῦ, καὶ τὸν Ἐλισσαῖον χρῖσαι προσαχθεὶς, μόνον ἔχρισε τὸν προφήτην; ἢ τίνι ἔχρισεν αὐτόν, καὶ τῆς πνευματικῆς αὐτῷ μετέδωκε χάριτος, ταύτῃ καὶ τοὺς ἄλλους ἔχρισε. τὴν προφητικὴν γὰρ παρ' αὐτοῦ δεξάμενος χάριν, προσήνεγκεν ἐκείνοις τὸ χρῖσμα, καὶ τῆς βασιλικῆς αὐτοῖς μετέδωκε χάριτος.

ΚΕΦ.

perdere, ſed longanimitas mihi placet, inquit. Vnumquemque verò aliorum hominum malitia trahit. Quod verò Deus veteris teſtamenti non ſit ignis, Helias docetur, & per ipſum nos omnes: ſed neque aura tenuis. Per tenuem verò auram dicitur adeſſe. Cum enim in caliginoſa nube, & igne filijs Iſrael apparuerit, inueniẽs Heliam ſublimiorum capacem, eum in notitiam incorporei ſubduxit, à terræmotu, à ſpiritu & ab igne ad tenuem auram. Id quod affine eſt voci Seruatoris, Deus ſpiritus eſt.

Iniecit pallium ſuum ſuper eum.] Cur Aſahelem, Iehu, & Heliſæum iuſſus vngere, ſolum prophetam vnxit? Gratia igitur ſpirituali, qua ipſum vnxit, quamq; in ipſum contulit, alios etiam vnxit. Propheticam enim ab ipſo gratiam accipiens, attulit illis vnctionem, & gratiam quæ in rege requiritur, ipſis contulit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XX.

Laudauit Nabuthe Dominum.] Honeſtè dixit pro blaſphemauit. Ieiunium verò indici præcepit, vt per hoc cædem iuſtam eſſe oſtenderet. Eamque ob cauſam pœna conſtituta eum iuſſit adfici, magiſque puniri quàm alios. Deinde pœnam hoc modo ſuſtinere.

Scidit veſtimenta ſua.] Quia leuis & inconſtans erat Achab, facilè ſemper mutabatur. Hinc Iezabel eum in tantam impietatem, vt hiſtoria dicat, gratis venundatum eſſe, vt faceret malum coram Domino, vt tranſtulit eum Iezabel, &c. Hinc cum appeteret vineam, dolorem morte Nabuthæ accepit.

Secundum omnia quæ fecit Amorrhæus.] Iam non peculiarem gentem dicit, ſed omnes Chananæos. Amorrhæus enim Hebraica voce etiam incola nominatur.

Bene-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΚΕΦ. Κ΄.

Εὐλόγηκε Ναβουθαὶ θεόν.] Εὐφήμως εἶπεν ἀντὶ τοῦ, ἐβλασφήμησεν. τὴν δὲ νηστείαν γενέσθαι προσέταξεν, ὥστε ταύτῃ δεῖξαι τοῦ φόνου τὸ δίκαιον. καὶ διὰ τοῦτο καὶ τοὺς συνήθους αὐτὸν ἐκέλευσεν ἀξιωθῆναι τιμῆς, καὶ προηδρεύειν τῶν ἄλλων, εἶθ᾽ οὕτω τὴν γραφὴν ὑποστῆναι.

Διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.] Κοῦφος ὢν Ἀχαὰβ, ῥᾳδίως ἀεὶ μετετρέπετο· ὅθεν αὐτὸν Ἰεζάβελ εἰς τοῦτο κατέστησεν ἀσεβείας. δι᾽ ὅπερ ἡ ἱστορία δωρεάν, φησιν, ἐπράθη Ἀχαὰβ, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον κυρίου, ὡς μετέστησεν αὐτὸν Ἰεζάβελ, καὶ τὰ ἑξῆς. ὅθεν ὀρεχθεὶς τοῦ ἀμπελῶνος ἤλγησεν ἐπὶ τῷ τοῦ Ναβουθαὶ θανάτῳ.

Καὶ πάντα ὅσα ἐποίησεν ὁ Ἀμοῤῥαῖος.] Νῦν οὐ τὸ ἰδικὸν ἔθνος φησὶν, ἀλλὰ πάντας τοὺς Χαναναίους. Ἀμοῤῥαῖος γὰρ τῇ Ἑβραίων φωνῇ καὶ ὁ κατοικῶν ὀνομάζεται.

ὁ δὲ φιλάνθρωπος θεὸς, διὰ μὲν τὴν μιαιφονίαν τὴν πανωλεθρίαν ἠπείλησεν. διὰ δὲ τὸν ἐπὶ τῷ φόνῳ θρῆνον τὴν τῆς τιμωρείας ἀναλαβὴν ἐχαρίσατο.

ΚΕΦ. ΚΑʹ.

Εἰ ἐκποιήσει ὁ χοῦς Σαμαρείας ταῖς δραξί.] ταῦτα ἔλεγον ἀπειλοῦντες τῆς πολιορκίας τὰ χώματα.

Ἑώρακας πάντα τὸν ἦχον.] Οἰκείως τῶν ἀπειλητικῶν ῥημάτων τὸν κόμπον οὕτως ἐκάλεσεν. διελύθη γὰρ συντόμως τῇ θείᾳ ῥοπῇ.

Ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν.] Οὐ χρήζω, φησί, πλήθους ἐγώ. ἐν ὀλίγοις γὰρ μειρακίοις, καὶ πολέμων ἀπείροις, τὴν παμπόλλην ταύτην στρατιὰν διολέσω. ἦσαν δέ, φησι, διακόσιοι τριάκοντα δύο, δι' ὧν ὁ παντοδύναμος κύριος λβʹ βασιλέων κατέλυσε στρατιάν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Beneficus autem Devs, propter homicidium exitium Achabō comminatus eſt, ſed quia cædem lamentatus eſt, ex gratia pœnam remiſit.

Cap. XXI.

Si ſuffecerit puluis Samariæ pugillis.] Hæc dicebant comminantes ſe aggeres facturos in obſidione.

Vidiſti omnem ſonum.] Proprie verborum minantium faſtum ſic vocauit. ſtatim enim Dei nutu diſſolutus & fractus eſt.

In pueris principum prouinciarum.] Non pluribus ego indigeo, inquit, nam cum paucis pueris, & bellorum expertibus, & ignaris maximum illum exercitum fundam. Erant autem, dicit ſcriptura, trecenti triginta duo, per quos omnipotens Deus exercitum triginta duorum regum profligauit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Deus montium, Deus Iſrael.] Cum ſuos Deos tales eſſe putarent, exiſtimauerunt verum Deum, & totius mundi opificem, partis alicuius tantum Deum eſſe: ſed domeſticis, & peregrinis ſuam vim, & potentiam demonſtrauit. Cum enim in campo conflictus fieret, Iſraelitæ centena viginti millia hoſtium profligarunt, & occiderunt. Cæterùm, vt hanc cladem diuinitus ipſis immiſſam eſſe cognoſcerent, cum illi, qui per fugam iam euaſerant, Aphecapolim ſe recepiſſent, murus corruit, & viginti ſeptem millia virorum oppreſſit.

In ſermone Domini percute me.] Non ego tibi impero, dicit, ſed qui in me eſt ſpiritus. Quapropter contradicenti per leonem exitium intulit.

Et contriuit.] Hoc eſt, vulnerauit.

Et ligauit in vitta oculos ſuos.] Parabolis vſi prophetæ, diuina vaticinia proferunt, vt illi, qui illos ſermones audiunt, neſcien-

tes

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Θεὸς ὀρέων θεὸς Ἰσραήλ.] Ἐπειδὴ τού-
τους εἶναι τοὺς οἰκείους θεοὺς ὑπελάμβανον, ᾠήθησαν καὶ τὸν ἀληθινὸν καὶ τῶν ὅλων δημιουργὸν μερικὸν εἶναι θεόν. ἀλλ' ἔδειξε καὶ τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις τὴν οἰκείαν ἰσχύν. τῆς γὰρ συμπλοκῆς ἐν πεδίῳ γεγενημένης, δυοκαίδεκα τῶν ἀντιπάλων μυριάδας Ἰσραὴλ κατηκόντισεν. ἵνα δὲ κἀκεῖνοι μάθωσιν ὡς θεήλατος ἡ πληγὴ, τῶν διαφυγόντων εἰς τὴν Ἀφεκὰ πόλιν καταπεφευγότων, καταπεσὸν τὸ τεῖχος ἑπτὰ καὶ εἴκοσι μυριάδας κατέχωσεν.

Ἐν λόγῳ κυρίου πάταξον δή με.] Οὐκ ἐγώ σοι, φησιν, ἐπιτάττω, ἀλλὰ τὸ ἐν ἐμοὶ πνεῦμα. διὸ δὴ τῷ ἀντειπόντι τὸν διὰ τοῦ λέοντος ἐπήνεγκεν ὄλεθρον.

Καὶ συνέτριψεν.] Τουτέστιν, ἐτραυμάτισεν.

Καὶ κατεδήσατο ἐν τελαμῶν, τοὺς ὀφθαλμοὺς αὐτοῦ.] Παραβολαῖς οἱ προφῆται κεχρημένοι τὰς θείας προρρήσεις προσφέ-

ρουσιν. ὡς ἂν ἀγνοοῦντες οἱ τήνδε τῶν λόγων ἀκούοντες, ὡς καθ' ἑαυτῶν τὴν ψῆφον ἐκφέρουσιν, δικαίως ψηφίζωνται. ἄλλως γὰρ ἐν ἑαυτοῖς, καὶ ἄλλως ἐν ἑτέροις τὴν ἁμαρτίαν ὁρῶμεν. τοῦτο καὶ ὁ Νάθαν πεποίηκε τῷ Δαβίδ. τοῦτο καὶ νῦν ὁ προφήτης.

Διότι ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον.] Φιλανθρωπίας ἀδίκου δίκην Ἀχαὰβ εἰσεπράχθη. δεῖ γὰρ ταύτην ἔχειν τὸ δίκαιον. αὐτὸς δὲ ὠμότητι χρησάμενος κατὰ τῶν προφητῶν, τοὺς πάντας ἄρδην ἀνελεῖν βουληθεὶς, καὶ τοὺς ἑλόντας ἀνελὼν πάντας, περὶ τὸν τοῦ Ἰσραὴλ πολέμιον τὸ ἥμερον ἔδειξεν· ὅτι δὲ πλεῖστα ἐξήμαρτε διὰ τὴν σκολιὰν τῆς γνώμης, τὰ ἑξῆς μαρτυρεῖ.

Πρὸς οἶκον αὐτοῦ συγκεχυμένος.] Πεῖραν γὰρ ἔχων τῶν θείων προρρήσεων, (δὶς γὰρ ἐνίκησε κατὰ τοὺς χρησμοὺς,) τὴν προσενεχθεῖσαν ἔδεισεν ἀπειλήν. ἀλλ' εὐθὺς πάλιν εἰς τὴν οἰκείαν ἐπανῆλθεν ἀσέβειαν.

ΚΕΦ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

tes, quod contra ſeipſos ferant ſententiam, iuſtè ſententiam dicant. Aliter enim in nobis ipſis, & aliter in alijs peccata cernimus. Hoc etiā Nathan fecit, cum Dauide agẽs; idem nunc quoque propheta facit.

Propterea quod dimiſiſti virum pernicioſum.] Humanitatis iniuſtæ, & præpoſteræ pœnas Achab perſoluit. Nam in præſtanda humanitate, iuſtitiam ſeruare oportet. Ipſe verò ſumma crudelitate erga prophetas vſus eſt, omneſque penitus delere voluit, & quos cepit, omnes ſuſtulit. Nunc verò ſe placabilem, & mitem erga hoſtes Iſraelitarum præbuit. Quod autem propter facilitatem illam, & promptitudinem animi ſæpe peccarit, ſequentia teſtantur.

In domum ſuam contriſtatus.] Cum enim veritatem vaticiniorum Dei reipſa expertus eſſet, (bis enim vicit iuxta oracula Dei,) comminationem propoſitam à propheta timuit, ſed ſtatim ad ſolitam impietatem redijt.

Sicut

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XXII.

Sicut tu, ita etiam ego.] Eadē faciam quæ tu, dicit, ſicut aciem inſtruxeris, ita & ego aciem inſtruam, tuus populus pugnat, & meus. Oſtendit ſcriptura pietatem ipſius, quamuis amicitia, & affinitas Achab, quemadmodum in libro Paralipomenon legitur, eam vitiauerit & corruperit.

Aſcende, & ſucceßum dabit Dominus.] Expectauit donec iuramento adigeretur, vt tunc demum veritatem proferret. Nam quandoquidem Achab exiſtimabat prophetam ex odio triſtia & infœlicia prædicere, primum dicit quæ grata erant, poſtea adactus iureiurando, quæ diuinitus ei reuelata erant, aperuit.

Quemadmodum oues, quæ non habent paſtorem.] His verbis oſtendit, quod propter regis malitiam, cladem accepturi ſint. Si enim nacti fuiſſent pium & religioſum paſtorem, potenter hoſtes viciſſent & profligaſſent.

Non

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΚΕΦ. ΚΒʹ.

Καθώς συ, οὕτως καὶ ἐγώ.] Τὰ αὐτά σοι δράσω, φησίν. ὡς παρατάττη, παρατάττομαι. καὶ ὁ λαός σου πολεμεῖ, καὶ ὁ ἐμός. ἔδειξε δὲ αὐτοῦ τὴν δυσσέβειαν ἡ γραφὴ, εἰ καὶ ταύτην ἐλυμήνατο φιλία καὶ συγγένεια τοῦ Ἀχαὰβ, ὡς ἐν Παραλειπομένοις, φησίν.

Ἀνάβαινε, καὶ εὐοδώσει κύριος.] Ἀνέμεινεν ὁρκωθῆναι, εἶθ' οὕτω φάναι τὸ ἀληθές. ἐπειδὴ γὰρ ὑπελάμβανεν Ἀχαὰβ διὰ μῖσος τὸν προφήτην προλέγειν τὰ λυπηρὰ, πρῶτον εἶπε τὰ καταθύμια, εἶτα ὁρκωθεὶς τὰ θεῖα μεμήνυκεν.

Ὡς πρόβατα, οἷς οὐκ ἐστὶ ποιμήν.] Δηλοῖ διὰ τούτων, ὡς ἡ ἐκείνου πονηρία τὴν ἧτταν ἐργάζεται. εἰ γὰρ ποιμένος ἔτυχον εὐσεβοῦς, κατὰ κράτος ἂν τῶν πολεμίους ἐνίκησαν.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Οὐ προφητεύει οὗτος μοι καλὰ, ἀλλ' ἢ κακά.] Ὁ Ἰώσηππος τὸν Μιχαίαν ἔφησεν εἶναι, τὸν ἤδη πρότερον τῷ τελαμῶνι χρησάμενον, καὶ τὰ λυπηρὰ τῷ Ἀχαὰβ προαγγείλαντα, τεκμαιρόμενος τῷ φάναι τὸν Ἀχαάβ· ὅτι μεμίσηκα αὐτὸν, ὅτι οὐ λέγει περὶ ἐμοῦ τἀγαθὰ, ἀλλ' ἢ κακά.

Καὶ εἶπεν κύριος, τίς ἀπατήσει τὸν Ἀχαάβ;] Προσωποποιΐα, διδάσκουσα τὴν θείαν συγχώρησιν. οὐ γὰρ ὁ ἀληθὴς θεὸς, καὶ τῆς ἀληθείας διδάσκαλος, προσέταττεν ἀπατηθῆναι τὸν Ἀχαὰβ, ὁ διὰ τοῦ προφήτου εἰπὼν, εἰ κυρίως αὐτοὶ πρὸς θεόν. ἀποστραφήτω δὲ ἕκαστος εἰς τὸν αὐτοῦ οἶκον ἐν εἰρήνῃ. διὰ τούτων τοίνυν ὁ προφήτης ἐδίδαξεν, ὡς τὸ πνεῦμα τῆς ἀπάτης, ὀργάνοις χρώμενον τοῖς δυσσεβέσιν ἀνθρώποις, ψευδῶς ὑπισχνεῖται τὴν νίκην. τοῦτο δὲ γίνεται τοῦ θεοῦ συγχωρήσαντος. κωλῦσαι γὰρ δυνάμενος οὐκ ἐκώλυσεν. ἐπειδήπερ ὁ Ἀχαὰβ τῆς θείας ἦν κηδεμονίας ἀνάξιος.

τούτῳ

Non vaticinatur hic mihi bona, ſed mala.] Ioſephus ſcribit, Micheam illum fuiſſe, qui iam ante vitta vſus eſt, & Achabo triſtia prædixit. Idq́ue hinc conijciens, quod Achab dicit: Odi eum, qui non loquitur de me bona, ſed mala.

Et dixit Dominus, quis decipiet Achab.] Proſopopœia eſt, docens, & oſtendens, permiſſionem diuinam. Dominus enim, qui verax eſt, & veritatis doctor, non imperauit, vt decipiatur Achab, qui per prophetam dixit, an non Dominus his in Deum? reuertatur quiſque in domum ſuam in pace. His igitur docuit propheta, quod ſpiritus deceptionis, qui impijs hominibus pro organis & inſtrumentis vtitur, mendaciter victoriam promittat. Hoc autem fit, Deo permittente. Cum enim prohibere potuiſſet, non prohibuit. Achab enim indignus erat, cuius curam Deus ſuſciperet. Hoc autem ſi-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

mile eſt huic, quod à Paulo dicitur, mittet illis Deus efficaciam erroris, qui veritatem non receperunt. Cæterùm viſiones explicationes ſunt conſilij Dei. Non quod ipſe, id quod eſt, oſtendat, corporeis autem figuris, & humano more effictis ſermonibus exprimit, & deſcribit Dei diſpenſationem. Quemadmodum Deus ipſe dicit: ego viſiones multiplicaui, & per manum prophetarum aſſimilatus ſum. Non ipſe apparet, ſed viſiones multiplicat. & ſimilitudinem oſtendit prophetis, regni quidem, ſi in throno ſedentem vident, & circa eum cœleſtem exercitum: iudicij verò, quando canum vident, albis veſtibus ornatum, propter iudicij non prudentiam modo, ſed & puritatem. Zacharias etiam videt ventos, humana voce vtentes, & dicentes, circumeamus terram, & ecce vniuerſa terra incolitur. Quemadmodum enim pictores in imaginibus bellum & pacem, victoriam & amicitiam, & quæcunque alia, effingunt in imagines huma-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

τούτῳ δὲ ὅμοιον τὸ ὑπὸ Παύλου λεγόμενον.
πέμψει ὁ θεὸς ἐνέργειαν πλάνης τοῖς τὴν
ἀλήθειαν οὐ παραδεξαμένοις. ἀλλ' ἑρμη-
νείαι τῆς τοῦ θεοῦ βουλήσεως τυγχάνουσιν αἱ
ὀπτασίαι, οὐχ ὅπερ ἐστὶν αὐτὸν δεικνῦσαι, σω-
ματικοῖς δὲ σχήμασι, καὶ ἀνθρωπίνοις λόγοις,
διατυποῦσαι τὰς τοῦ θεοῦ οἰκονομίας, ὡς αὐ-
τὸς ὁ θεός, φησιν· ἐγὼ ὁράσεις ἐπλήθυνα,
καὶ ἐν χερσὶ προφητῶν ὡμοιώθην. οὐκ αὐ-
τὸς φαίνεται, ἀλλ' ὁράσεις πληθύνει. καὶ ὁ-
μοίωμα δείκνυσι τοῖς προφήταις, βασι-
λείας μὲν, ὅταν ἐπὶ θρόνου καθεζόμενον ὁ-
ρῶσι, καὶ περὶ αὐτὸν τὴν οὐράνιον στρατιάν·
κρίσεως δὲ, ὅταν πολιὸν βλέπωσι, λευκοῖς
ἱματίοις κοσμούμενον, διὰ τὸ τῆς κρίσεως σο-
φόν τε ἅμα καὶ καθαρόν. ὁρᾷ καὶ Ζαχα-
ρίας ἀνέμους, ἀνθρωπίνῃ φωνῇ χρωμένους,
καὶ περιωδεύσωμεν τὴν γῆν λέγοντας, καὶ
ἰδοὺ πᾶσα ἡ γῆ κατοικεῖται. καθάπερ γὰρ ἐν
εἰκόσι γραφεῖς πόλεμόν τε καὶ εἰρήνην, νί-
κην καὶ φιλίαν, καὶ ὅσα ἄλλα, σχηματίζουσιν

εἰς ἀνθρωπείων σωμάτων εἰκόνας, τοῖς τοιού-
τοις ὁμοιώμασι τὸ βούλημα δεικνύντες
ἐναργέστερον· κατὰ τὰ αὐτὰ καὶ τὸ πνεῦμα
τὸ ἅγιον προφήταις τε καὶ ἀποστόλοις τὸ θέ-
λημα τοῦ θεοῦ, καὶ τὴν δόξαν, καὶ τὴν οἰ-
κονομίαν, καὶ τὴν ἀρχὴν τὴν κατὰ τῶν ἐπιόρ-
κων, καὶ ἑτέρων τινῶν, ἐμψύχων ἢ ἀψύχων,
καὶ ὅπερ βούλεται μὲν ὁ θεὸς πληρῶσαι, αἱ δὲ
ἐξῆς δυνάμεις πληροῦσιν, ἢ ὅσα τολμᾷ μὲν
ὁ διάβολος ἐπιβουλεύειν, συγχωρεῖ δὲ ὁ
θεὸς, ταῦτα τυποῖ διὰ τῶν ὀπτασιῶν, ὡς ἐπὶ
τοῦ Ἰώβ. αἱ γὰρ ὀπτασίαι, καὶ τὰ ἐν ταῖς ὀπτα-
σίαις ῥήματα, μέρος ἐστὶ τῆς τοῦ θεοῦ συγκατα-
βάσεως. οὔτε γὰρ περιστερὰ τὸ πνεῦμα τὸ
ἅγιον. οὔτε δὲ τὸ, ὅς ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ,
ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν, οὕτως, ὡς εἴ-
ρηται, νοήσομεν, ὡς ἐν τόπῳ μὲν ὄντος τοῦ
θεοῦ, δεομένου δὲ τῆς ὑπὲρ ἡμῶν τοῦ μονογε-
νοῦς ἐντυχίας. κατὰ τὸν αὐτὸν λόγον οὐδὲ αἱ
τῶν προφητῶν ὀπτασίαι, καὶ αἱ φωναὶ, τοῦτ'
ἦσαν, ὅπερ ἐδείκνυον. τοῦ δὲ θεοῦ τὴν βού-

λησιν

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

humanorum corporum, huiuſcemodi ſimilitudinibus conſilium, & propoſitum ſuum, euidentius oſtendentes: ita etiam ſpiritus ſanctus prophetis, & Apoſtolis, voluntatem Dei, & gloriam, & diſpenſationem, & maledictionem contra periuros, & contra alia quædam, animata & inanimata, & quod Devs vult implere, quodq́ue poſtea exercitus Dei implet, aut quæcunque ſatan per inſidias tentare audet, & Deus permittit, proponit, & per viſiones exprimit, quemadmodum in Iob. Viſiones enim, & verba in viſionibus, ſunt pars quædam condeſcenſionis Dei, qua ſe ad captum noſtrum demittit. Neque enim columba eſt ſpiritus ſanctus. Neque hæc verba, qui eſt in dextra Dei, qui & intercedit pro nobis, ita, vt dicta ſunt, intelligere debemus, quaſi in loco Deus ſit, & vnigeniti filij pro nobis interceſſione indigeat. Simili ratione, neque prophetarum viſiones, & voces, hoc erant, quod repræſentabant. Sed voluntatem

Dei ſignificabant, vel permiſſionem, & obedientiam obedientium, & conatum audentium. Quemadmodum etiam ſpiritus mendax per os pſeudoprophetarum, Deo permittente; & diabolus, qui Iobum, Deo non obſtante, tentauit. Per quod docuit nos ſcriptura, quod à Deo conditus, & ſub eius dominio ſit, qui aſtat omnium creatori Domino, non obediendi propoſito, ſed naturæ quodam ductu, animo quidem abalienato, ſed eſſentiæ Dei quodammodo particeps.

Et Ioſaphat rex Juda cum eo.] Profectus eſt vnà cum Achab, ſua pietate rem indignam faciens. Cum enim prophetam requiſiuiſſet, pſeudoprophetas ablegaſſet, & ex Michea, quidnam agendum eſſet, didiciſſet, amicitiam tamen pietati veræ, & religioni, prætulit. Cæterùm, propter alias ſuas virtutes, curæ Dei erga ſe fructum percepit.

Scorta

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

λησιν ἐσήμαινον, ἢ τὴν συγχώρησιν, καὶ τὴν ὑπακοὴν τῶν ὑπακουόντων, καὶ τὴν ἐπιχείρησιν τῶν τολμώντων. ὥσπερ καὶ τὸ πνεῦμα, τὸ ψευσάμενον διὰ στόματος τῶν ψευδοπροφητῶν, θεοῦ συγχωρήσαντος· καὶ ὁ πειράσας δὲ τὸν Ἰὼβ διάβολος, θεοῦ μὴ κωλύσαντος. δι' ὅπερ ἐδίδαξεν ἡμᾶς ἡ γραφὴ, ὡς τῆς τοῦ θεοῦ κτίσεώς ἐστι, καὶ τῆς δεσποτείας, παρεστὼς τῷ πάντων δεσπότῃ, οὐ τῇ τῆς προθέσεως ὑπακοῇ, ἀλλὰ τῇ τῆς γενητῆς φύσεως ἀκολουθίᾳ, τὴν μὲν γνώμην ἀλλοτριωθεὶς, τὴν δὲ οὐσίαν τοῦ θεοῦ τυγχάνων.

Καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα μετ' αὐτοῦ.] Συναπῆρεν Ἀχαὰβ, τῆς ἰδίας εὐσεβείας ἀνάξια δεδρακώς. ἐπιζητήσας γὰρ προφήτην, καὶ τοὺς ψευδοπροφήτας ἀποπεμψάμενος, καὶ τὸ πρακτέον παρὰ τοῦ Μιχαίου μεμαθηκὼς, τῆς εὐσεβείας προετίμηκε τὴν φιλίαν. πλὴν διὰ τὴν ἄλλην αὐτοῦ ἀρετὴν τῆς θείας κηδεμονίας ἀπέλαυσεν.

Καὶ αἱ πόρναι ἐλούσαντο ἐν τῷ αἵματι αὐτοῦ.] Αἱ πόρναι ὑπὸ τὴν ἕω κατὰ τὸ ἔθος ἐλούσαντο. οὐκ ἐξεπίτηδες εἰς τὸ αἷμα βουλόμεναι λούσασθαι, ἀλλ' εἰς τὸ πηγαῖον, ὡς εἰώθεισαν, ὕδωρ· τοῦτο δὲ ἦν κεχρωσμένον τῷ αἵματι. καὶ τὰ τῆς τιμωρίας ἀνθρωπίνως ἔδοξεν εἶναι πικρότερα. τινὲς δὲ, θείας ἀναγραφῆς ἀνάξιον τοῦτο νομίζοντες, ἔφασαν, ὅτι, ὅσοι τῆς αὐτῆς πράξεως ἐκοινώνουν, θεασάμενοι ἐπαύσαντο λοιπὸν ὡς πρός τι. καὶ εἰ μὴ αὐτὴν ἕξιν ἀπέβαλον εὐθέως, καὶ κατὰ τοῦτο ἐλούσαντο ἐν τῷ αἵματι αὐτοῦ, τοῦ θανάτου Ἀχαὰβ καθαρισμοῦ αὐτῶν γενομένου. κωλυτικὸς γὰρ ὤφθη τῆς ἐκείνων ἀκολασίας. οὕτω καὶ τοῦ τιμωρουμένου, ὁ ἄκακος πανουργότερος γίνεται, κατὰ τὸ ἐν ταῖς Παροιμίαις. οὕτω κατὰ Δαβίδ, καὶ ὁ δίκαιος τὰς χεῖρας αὐτοῦ νίπτεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Scorta lauabantur in ſanguine ipſius.] Scorta ſub auroram pro more lauabantur, non de induſtria in ſanguine volentes lauari, ſed, quemadmodum conſueuerant, in aqua fontana; illa autem ſanguine tincta erat. Et hæc pœna humano more acerbior eſſe viſa eſt. Quidam verò, indignum putantes, vt in ſacras literas hoc referatur, dixerunt. Quoniam, quotquot huius rei participes fuerunt, videntes quieſcebant in poſterum relatiuè, quamuis naturam non ſtatim mutauerint, & iuxta hoc lauabantur in ſanguine ipſius, cum mors Achabi purgatio ipſorum fieret. nam intemperantiam, & petulantiam ipſorum prohibuit, cum ad hunc modum laſciuia illa, & intemperantia, puniretur. Simplex, & innocens, cautior fit, iuxta illud, quod in parabolis legitur. Sic iuxta Dauidem, etiam iuſtus manus ſuas lauat in ſanguine peccatoris.

PROCOPII GAZÆI SOPHISTÆ IN LIBRVM QVARTVM REGVM Scholia.

Cap. I.

E*T prævaricatus eſt Moab in Iſrael.*] Moabitæ Achabo, cuius imperio parebant, tributum pendebant. Illo autem defuncto, filium contemnentes, defectionem ab eo fecerunt.

In cancellos cœnaculi.] Domus erat æſtiualis, quæ multas feneſtras, in modum retis cancellatas, habebat, quas vulgo διαιτητὰς appellant.

Idolum.] Scriptura idola προσοχθίσματα καὶ βδελύγματα appellat; abominanda enim ſunt, & odioſa: id quod ſignificat προσόχθισμα. quemadmodum Rebecca loquitur: προσώχθισα τῇ ψυχῇ μου, διὰ τὰς θυγατέρας τῶν Χαναναίων. hoc eſt, odi animam meam, propter filias Chananæorum. Et Dauid.

ΠΡΟΚΟΠΙΟΥ

Γαζαίου σοφιστοῦ εἰς τὴν τετάρτην τῶν Βασιλειῶν Σχόλια.

ΚΕΦ. Α΄.

ΚΑὶ ἠθέτησε Μωὰβ ἐν Ἰσραήλ.] Δασμὸν ἔφερον οἱ Μωαβῖται τῷ Ἀχαὰβ, ὡς ὑπήκοοι. τελευτήσαντος δὲ ἐκείνου, καταφρονήσαντες τοῦ υἱέος, ἀπέκοψαν.

Εἰς τὸ δικτυωτὸν ὑπερῷον.] Οἶκος ἦν θερινὸς, πολλὰς ἔχων φωταγωγοὺς δικτυοειδεῖς κατεσκευασμένας, ἃς διατρήτους ὀνομάζουσιν οἱ πολλοί.

Προσόχθισμα.] Προσοχθίσματα, καὶ βδελύγματα, τὰ εἴδωλά φησιν ἡ γραφή. βδελυρὰ γὰρ, καὶ μίσους ἄξια. ὃ δηλοῖ τὸ προσόχθισμα. ὡς ἡ Ῥεβέκκα φησί· προσώχθισα τῇ ψυχῇ μου, διὰ τὰς θυγατέρας τῶν Χαναναίων. τουτέστι, μεμίσηκα. καὶ ὁ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Δαβίδ. κακία δὲ οὐ προσώχθισε. τουτέστιν, οὐκ ἐμίσησεν αὐτήν. θρηνεῖν δὲ ἄξιον τὴν τῶν δυσσεβῶν ἀλογίαν. οὐ γὰρ μόνον τὰ μέγιστα τῶν ζώων ἐθεοποίησαν, ἀλλὰ καὶ τὰ σμικρότατα, καὶ μίσους μεστά. τί γὰρ μυσαρώτερον μυίας; ἀλλ᾽ ὅμως, τὸν τῶν ὅλων καταλιπόντες θεὸν, τὸ ταύτης ἴνδαλμα περὶ ζωῆς ἐπηρώτων. πλείω ἐστὶ μαθεῖν ἐξ ὧν Εὐσέβιος ἐν ἀρχῇ τῆς Εὐαγγελικῆς προπαρασκευῆς ἐκ τῶν Φίλωνος παρατίθεται, ὡς δαίμων ἦν, οὕτω λεγόμενος· μᾶλλον δὲ γυνὴ παλαιά τις, ἣν ἐθεοποίησαν.

Καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ.] Οἱ τὸν προφήτην ἐπὶ τοῖς πεντηκοντάρχοις ὠμότητος αἰτιώμενοι, κατὰ θεὸν λανθάνουσι βλασφημοῦντες, τοῦ τὸ πῦρ ἀποστείλαντος. χρὴ γὰρ εἰδέναι τῆς θείας οἰκονομίας τὸ δίκαιον, καὶ ὡς ἐν δίκῃ κολάζει τε, καὶ πάλιν εὐεργετεῖ. δῆλοι δὲ ἦσαν οἱ πεντηκόνταρχοι μετὰ τῶν

ἐπο-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

κακίᾳ δὲ ὀ προσώχθισα. id eſt, Non odi illam. Meritò autem deploranda eſt impiorum inſania. Etenim non ſolum m gna animalia, ſed minima etiam, & od oſa, pro dijs coluerunt. Quid enim odioſius, & contemptius, muſca? Nihilominus tamen, relicto conditore Vniuerſi, muſcæ ſimulacrum de vita conſulebant. Porrò ex his, quæ Euſebius in principio Euangelicæ præparationis ex libris Philonis adducit, colligere licet, dæmonem hoc nomine appellatum fuiſſe; vel potius aniculam quandam, quam in dearum numerum retulerunt.

Deſcendat ignis è cælo.] Qui prophetam crudelitatis in quinquagenarios accuſant, non attendunt, ſe Deo maledicere, qui hunc ignem de cœlo miſit. Obſeruare enim oportet ordinis, & diſpenſationis diuinæ, iuſtitiam, quod ſequentes iuſtè etiam puniat, & rurſum benè illis faciat. Nam manifeſti erant pentecontarchi, & qui illos ſequebantur, quod eius, qui miſiſſet,

miſiſſet, ſcopum ſibi quoque propoſuiſſent. Tertius enim æquitate, & fide, adductus, cum ipſa experientia prophetæ virtutem, & potentiam, didiciſſet, ſeruatur incolumis. Quidam autem dicunt, quod, magna inſultatione ad eum accedentes, vocarint iuſtum, & ad ſe deſcendere iuſſerint. Quapropter pro illo ignis deſcendens, impios illos abſumpſit, in exemplũ, & doctrinam, ne iuſtos conuitijs perſequamur, neue illudamus eis.

CAP. II.

Quia filium non habebat.] Semper enim filius, iuxta legem, patri in adminiſtratione regni ſuccedebat; mortuo verò, nullos poſt ſe liberos relinquenti, fratrum maximus natu. Vnde Dauidis regnum, vſq; ad captiuitatem, per filios deſcendit. Iechonia verò capto, antequam filios procreaſſet, Mathanias, qui & Sedechias, imperium tenuit; auunculus enim erat ex patre.

Et

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ἑπομένων τῷ σκοπῷ πεπομφότος συμβαίνοντες. ὁ γὰρ τρίτος ἐπιεικείᾳ καὶ πίστει προσενεχθεὶς, τῇ πείρᾳ τὴν δύναμιν τοῦ προφήτου μαθὼν, διασώζεται. τινὲς δέ φασιν, ὡς μετὰ πολλῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον, καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτούς. ὅθεν ἀντ' ἐκείνου πῦρ κατελθὸν, τοὺς ἀσεβοῦντας κατέφλεξεν, εἰς παιδείαν τοῦ μὴ δεῖν διασύρειν, καὶ παίζειν, δικαίους.

ΚΕΦ. Β'.

Ὅτι οὐκ ἦν αὐτῷ υἱός.] Παῖς γὰρ ἀεὶ μετὰ πατέρα κατὰ νόμον τὴν βασιλείαν ἐδέχετο. ἄπαιδος δὲ ὄντος τοῦ τελευτήσαντος, τῶν ἀδελφῶν ὁ πρεσβύτατος. ὅθεν ἡ τοῦ Δαβὶδ βασιλεία, μέχρι τῆς αἰχμαλωσίας, διὰ παίδων κατῆλθε. τοῦ δὲ Ἰεχονίου περὶ τὴν παιδοποιΐας, ἀλόντος, Ματθανίας, ὁ καὶ Σεδεκίας, κατέσχε τὴν βασιλείαν, θεῖος ὢν αὐτοῦ πρὸς πατρός.

Καὶ πεντήκοντα ἄνδρες ἀπὸ τῶν υἱῶν τῶν προφητῶν.] Ἰδίωμα τῆς Ἑβραΐδος, ἅμα δὲ καὶ Σύρων, υἱοὺς προφητῶν, καὶ υἱοὺς ἀνθρώπων, προφήτας, καὶ ἀνθρώπους, λέγειν. ὡς τὸ. υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; καὶ, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς υἱοὺς τῶν ἀνθρώπων. πολλοὶ δὲ ἦσαν προφῆται, ὡς ὁ λόγος ἐδήλωσεν.

Εσκλήρυνας τοῦ αἰτῆσαι.] Οὐ φθονῶν τῆς χάριτος τῷ μαθητῇ τοῦτό φησιν, ἀλλὰ τῶν ἄλλων ἀνθρώπων κηδόμενος. ἐπεὶ γὰρ τρισὶν ἔτεσι, καὶ μησὶν ἕξ, δυσσεβοῦντας τοὺς ἀνθρώπους ἐπαίδευσεν· ἀνάγκη δὲ ἦν, τὸν διπλῆς κληρονομοῦντα τῆς χάριτος διπλάσια ἐργάσασθαι πράγματα. ἐν δὲ τούτων, ἡ διὰ τοῦ λιμοῦ τιμωρία. φειδοῖ κεχρημένος εἶπεν, ἐσκλήρυνας τοῦ αἰτῆσαι. τοῦτο δὲ καὶ ἐκ τῆς ἱστορίας μανθάνομεν. ἑπτὰ γὰρ ἔτεσιν ἐπηνέχθη τοῖς ἀνθρώποις ἡ τοῦ λιμοῦ τιμωρία.

Ἅρμα Ἰσραὴλ, καὶ ἱππεὺς αὐτοῦ.] Οἱ

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Et quinquaginta viri ex filijs prophetarum.] Filios prophetarum, & filios hominum, homines, & prophetas, appellare, idioma eſt Hebraicum, & Syriacum. Quemadmodum illud: Filij hominum, quouſque graui corde eſtis? Et, iuxta altitudinem tuam multiplicaſti filios hominum, eorumque curam habuiſti. Multi autem erant prophetæ, vt hic locus oſtendit.

Rem duram, & difficilem, petiuiſti.] Non quod diſcipulo gratiam, & dona, inuideat, hæc loquitur: ſed aliorum hominum curam gerens. Nam, cum ipſe tribus annis, & ſex menſibus, homines caſtigarit, & afflixerit, neceſſe fuit illum, qui duplicem portionem de gratia Spiritus accepiſſet, duplicia etiam opera edere, ex quibus vnum erat, pœna famis. Miſericordia igitur motus, rem dicit magnam, & duram, petiuiſti. Id quod ex hiſtoria perſpectum habemus. fames enim ſeptem annorum ſuper homines adducta eſt.

Currus Iſrael, & eques eius.] Reges alia-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

rum gentium equis, & curribus, inſtructi, in acie pugnabant. Hanc ob cauſam magnum illum Heliam, currum, & equitem, Iſraelis appellauit, vt qui ſolus hoſtes ſuperare, & ſuis contribulibus pacem, & gratiam, poſſet præſtare.

Vbi eſt Deus Heliæ ampho.] Ad imitationem ſui præceptoris nihil dicens, pallio aquam Iordanis percuſſit, pallium ad edendum miraculum ſufficere exiſtimans, aqua verò non cedente, Deum præceptoris ſui inuocat. Deum, inquam, hominibus inconſpicuum, & inacceſſum. ἀμφῶ enim ὁ κρύφιος, hoc eſt, occultus, redditur ab alijs interpretibus.

Filij roboris.] δυνατοὶ, εὔζωνοι, robuſti, & expediti.

Et deuouit eos in nomine Domini.] Hac pœna magnum cum ipſis pueris, tum etiã parentibus ipſorum, beneficium contulit. Illis quidem, quod creſcentem progreſſu temporis malitiam eorum inhibuit; his verò, docendo, ne liberos hoc modo edu-

carent,

τῶν ἄλλων ἐθνῶν βασιλεῖς ἵπποις κεχρημένοι, καὶ ἅρμασι, παρετάττοντο. τούτου χάριν τὸν μέγαν Ἠλίαν ἅρμα, καὶ ἱππέα, τοῦ Ἰσραὴλ προσηγόρευσεν, ὡς ἀποχρῶντα καὶ μόνον τοὺς πολεμίους καταγωνίσασθαι, καὶ παρασχεῖν τοῖς ὁμοφύλοις τὴν χάριν.

Ποῦ δή ἐστιν ὁ θεὸς Ἠλιοῦ ἀμφώ.] Μιμούμενος τὸν διδάσκαλον, τῇ μηλωτῇ τοῦ Ἰορδάνου τὸ ὕδωρ ἐπάταξεν, οὐδὲν εἰρηκώς. ἱκανὴν δὲ νομίσας εἰς θαυματουργίας τὴν μηλωτὴν, τοῦ δὲ ὕδατος οὐχ ὑπείξαντος, τὸν τοῦ διδασκάλου θεὸν καλεῖ, τὸν τοῖς ἀνθρώποις ἀόρατον, καὶ ἀνέφικτον. ἀμφὼ γὰρ ὁ κρύφιος ἑρμηνεύεται παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς.

Υἱοὶ δυνάμεως.] Δυνατοὶ, εὔζωνοι.

Καὶ κατηράσατο αὐτὰ ἐν ὀνόματι κυρίου.] Εὐεργέτης αὐτῶν τε καὶ τῶν τεκόντων διὰ τῆς τιμωρείας ἐγένετο. τοὺς μὲν, παύσας αὐξανομένην τῷ χρόνῳ τὴν πονηρίαν· τοὺς δὲ, παιδεύσας, μὴ οὕτω τοὺς παῖδας ἀνά-

γειν, ἐν φόβῳ δὲ θεοῦ, καὶ τῇ τῶν δικαίων αἰ-
δοῖ. καὶ τοὺς ἄνδρας μειζόνως ἐπαίδευσεν,
οἱ μηδὲ παίδων φεισάμενος. τοῦ δὲ θεοῦ
πάντως ἡ κρίσις ἐκείνους ἀνεῖλεν ἐκ τῶν
παίδων, οὓς ἔγνω χεῖρας ἐσομένους, τῇ τού-
των ἀναιρέσει τοὺς μὴ τοιούτους παιδεύσα-
σα. ὅτι δὲ τοὺς ἁγίους ὁ θεὸς ἐκδικεῖ, δε-
δήλωκεν, ἐπ᾽ Ἀβραὰμ μὲν ἐν Αἰγύπτῳ,
ἐπ᾽ Ἰσαὰκ δὲ ἐν Γεράροις. ἵνα σιωπήσω
τὸν Ἀβέλ. καὶ Δαβὶδ δὲ περὶ τοῦ δικαίου
φησὶν, οἱ εὐλογοῦντες αὐτὸν, κληρονομήσου-
σι γῆν. καὶ οἱ καταρώμενοι αὐτὸν, ἐξολο-
θρευθήσονται. κἂν γὰρ πρὸς τὸ παρὸν ἐκ-
φύγοιεν, ἀλλ᾽ οὔτι τὴν μέλλουσαν δίκην.

ΚΕΦ. Γʹ.

Ὃς ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας Ἠλιοῦ.]
Ἀντ᾽ ἐγκωμίου τοῦτό φασιν. τοσοῦτον εἶχον
θαῦμα τοῦ μεγάλου προφήτου.

Μὴ

carent, ſed in timore Domini, & bonorum reuerentia. Adultos etiam inſtituit, quando neq; teneræ ætati pepercit. Omnino autem Dei iudicium, dum pueri adhuc eſſent, eos è medio ſuſtulit, quos deteriores fore prouidebat. Ipſorumq́ interitu illos etiam, qui tales non erant, erudiens. Cæterùm Deum iniuriam ſanctis illatam vlciſci, declarauit in Abrahamo in Aegypto, in Iſaaco in Geraris, vt omittam hic dicere de Abele. Dauid etiam de iuſto dicit: benedicentes ei, hæreditatem terræ accipient; & execrantes eum, exterminabuntur. Et tametſi in præſenti non puniantur, futurum tamen iudicium non effugient.

CAP. III.

Qui fudit aquam ſuper manus Heliæ.] Hæc in laudem dicunt. Tantæ apud eos authoritatis, & exiſtimationis, erat magnus ille propheta Helias.

Num-

Nunquid vocauit Deus tres reges iſtos.] Neceſſitas etiam audaces, & confidentes, æquos, & manſuetos, reddit.

Accipite mihi canentem.] Dauid, qui prophetico ſimul, & regio, munere ornatus fuit, ſacrum miniſterium prudenter inſtituit, vtque ſacerdotes iuxta legem tubis, Leuitæ autem nablis, cymbalis, & alijs inſtrumentis muſicis, vterentur, ordinauit. Vtebantur autem Dauidis ſpirituali melodia. Vnum ex illorum numero propheta iuſſit accerſiri, illo autem pſallente, gratia ſpiritus ſancti, quam manum Domini vocat, quidnam agendum eſſet, ſignificabat.

CAP. IV.

Et tu noſti, quod ſeruus erat Domini.] Quidam annotant hunc fuiſſe Abdiam, diſpenſatorem Achabi, qui centum viros, in ſpeluncis occultans, aqua & pane ſuſtentauit, propter quos ei cum creditore negotium fuit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Μὴ ὅτι κέκληκε κύριος τοὺς τρεῖς βασιλεῖς τούτους.] Ἡ ἀνάγκη καὶ τοὺς θρασεῖς ἐπιεικεῖς ἀπεργάζεται.

Λάβετέ μοι ψάλλοντα.] Δαβίδ, ὁ προφητικῆς ἅμα καὶ βασιλικῆς ἠξιωμένος χάριτος, καὶ τὴν ἱερατικὴν σοφῶς ἔταξε λειτουργίαν. καὶ τοὺς μὲν ἱερέας, κατὰ τὸν Μωσαϊκὸν νόμον ταῖς σάλπιγξι κεχρῆσθαι προσέταξε· τοὺς δὲ Λευΐτας, κινύραις, καὶ νάβλαις, καὶ κυμβάλοις, καὶ τοῖς ἄλλοις ὀργάνοις. ἐχρῶντο δὲ τῇ πνευματικῇ τοῦ Δαβὶδ μελῳδίᾳ. τούτων ἕνα μετακληθῆναι προσέταξεν ὁ προφήτης. ἐκείνου δὲ ψάλλοντος, ἡ τοῦ πνεύματος χάρις, ἣν χεῖρα κυρίου καλεῖ, τὸ πρακτέον ἐσήμαινεν.

ΚΕΦ. Δʹ.

Καί συ οἶδας, ὅτι δοῦλος ἦν κυρίου.] Τινὲς τὸν Ἀβδιοῦ τοῦτον εἶναί φασι, τὸν οἰκονόμον τοῦ Ἀχαάβ. ὃς ἑκατὸν ἄνδρας ἔνδοθεν κατακρύψας, διέτρεψεν αὐτοὺς ἐν ἄρτῳ, καὶ ὕδατι· δι' οὓς καὶ δανειστῇ προσωμίλησεν.

Εἰ ἐςί σοι λόγος λαλῆσαι πρὸς τὸν βασιλέα.] Δυνάμενος αὐτῇ παρασχεῖν τὴν θείαν ἐπικουρίαν, καὶ τῆς ἀνθρωπίνης αὐτὴν ἀξιῶσαι βούλεται προμηθείας.

Οὐκ ἐςὶν, ἐν μέσῳ τοῦ λαοῦ μου ἐγὼ κατοικῶ.] Ἀπραγμοσύνῃ, φησὶ, χαίρω, καὶ εἰρηνικῶς διάγω· καὶ πρός τινα ἔχειν ἀμφισβήτησιν οὐκ ἀνέχομαι. οὕτω καὶ ψυχὴν πᾶσαν, ἐπειδὰν τὰς κοσμικὰς ἀποκόψειε σχέσεις τὸ πνεῦμα τὸ ἅγιον, στεῖραν οὖσαν, ἀπεργάζεται γόνιμον.

Κατὰ τὸν καιρὸν τοῦτον, ὡς μωρὰ ταύτη.] Τοῦτο πρὸς τὸν πατριάρχην ὁ τῶν ὅλων ἔφη θεός· κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσαι τῇ Σάῤῥᾳ υἱός. δηλοῖ τοίνυν δι' ὧν εἴρηκεν ὁ προφήτης, ὡς αὐτὸς ἐφθέγξατο δι' αὐτοῦ ὁ τῶν ὅλων κύριος. οὗ δὴ χάριν καὶ ἀποφαντικῶς δέδωκε τὴν ὑπόσχεσιν.

Καὶ ἐκοίμιζεν αὐτὸν ἐπὶ κλίνην τοῦ ἀνθρώπου τοῦ θεοῦ.] Μαθοῦσα γὰρ τοῦ προφήτου

τὴν

Si eſt tibi verbum quod loquar ad regem.] Cum diuinum auxilium hoſpitæ præſtare poſſet, etiam humana cura, & prouidentia, vult eam dignari.

Non eſt, in medio populi mei ego habito.] Tranquillitate vitæ lætor, inquit, & pacifice dego; nec poſſum diſcepare cum aliquo. Sic omnem quoque animam, ſi mundanas affectiones abſciderit, ſterilem iam exiſtentem, ſpiritus ſanctus fœcundam reddit.

In tempus, vt hora hæc.] Idem dixit Deus conditor Vniuerſi ad patriarcham; iuxta hoc tempus veniam, & Saræ filius erit. His igitur verbis, quæ propheta dixit, declarat, ipſum conditorem vniuerſi per os ipſius loquutum eſſe. Hancque ob cauſam certam promiſſionem fecit.

Et collocauit eum ſuper lectum viri Dei.] Perſpecta virtute, & potentia prophetæ,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

puerum etiam vita defunctum, ſperauit reſurrecturum eſſe.

Ipſa autem dixit, pax.] Ipſum volo alloqui.

Pax tibi.] Pro, καλῶς διάγετε, ὑγιαίνετε, id eſt, bene agite, valete.

Dominus abſcondit à me.] Non enim omnia nouerunt prophetæ, ſed ea duntaxat, quæ diuina gratia ipſis reuelauit.

Si inueneris aliquem, non benedicas ei.] Sciebat, quàm laudis cupidus eſſet. Vanæ verò gloriæ affectatio, impedit facultatem edendi miracula.

Poſuit faciem ſuam, ſuper faciem eius.] Vt morruus vitæ viuentis particeps redderetur; ſpirituali nempe gratiâ vitam dante.

Eidad.] Expoſuerunt ἐνεφύσησε, inflauit.

Inſpirauit in eum.] Reliqui reddunt συνεκάλυψε, contexit.

Arioth.] Reliqui reddunt ἀγριολάχανα, olera ſilueſtria.

Accipite

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

τὴν δύναμιν, καὶ τελευτήσαντι παιδίον ἤλπιζεν ἀναστήσεσθαι.

Ἡ δὲ εἶπεν, εἰρήνη.] Προσειπεῖν αὐτὸν βούλομαι.

Εἰρήνη σοι.] Ἀντὶ τοῦ, καλῶς διάγετε, ὑγιαίνετε.

Καὶ κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ.] Οὐ γὰρ πάντα ᾔδεσαν οἱ προφῆται, ἀλλ' ἅπερ ἡ θεία χάρις αὐτοῖς ἀπεκάλυπτεν.

Ὅτι ἂν εὑρήσῃς τινὰ, μὴ εὐλογήσῃς αὐτόν.] Ἤδει αὐτοῦ τὸ φιλότιμον. ἡ δὲ κενοδοξία, τὴν θαυματουργίαν κωλύει.

Καὶ ἐπέθηκε τὸ πρόσωπον αὐτοῦ ἐπὶ τὸ πρόσωπον αὐτοῦ.] Ἵνα τῆς τοῦ ζῶντος ὁ τεθνεὼς μεταλάβῃ ζωῆς· τῆς πνευματικῆς δῆλον ὅτι χάριτος τὴν ζωὴν χορηγούσης.

Εἰδάδ.] Ἐνεφύσησεν ἑρμηνεύουσιν.

Καὶ ἐνέπνευσεν ἐπ' αὐτόν.] Οἱ λοιποὶ, συνεκάλυψεν.

Ἀριώθ.] Οἱ λοιποὶ, ἀγριολάχανα.

Λάβετε ἄλευρον, καὶ ἐμβάλλετε εἰς τὸν λέβητα.] Τοῦ δηλητηρίου τὴν ἐνέργειαν ἤμβλυνεν οὐχ ἡ τοῦ ἀλεύρου φύσις, ἀλλ' ἡ τοῦ προφήτου χάρις. ὡς καὶ τῆς πηγῆς ἄγονον οὐχ ἅλες μετέβαλον.

ΚΕΦ. Ε'.

Λοῦσαι ἐν τῷ Ἰορδάνῃ ἕβδομον.] Ἰδεῖν μὲν αὐτὸν, ὡς λεπρὸν, ἠνέχετο· ὡς ὑπὸ τῶν νόμων πολιτευόμενος. προστάττει δὲ τὸ προκείμενον. σώματος γὰρ ἦν ἡ λέπρα, ὅπερ ἐκ τῶν τεσσάρων στοιχείων συνέστηκεν. ἑπτὰ δὲ ἡμέραις ὁ παρὼν βίος ἀνακυκλεῖται. τῆς δὲ ψυχῆς ἡ κάθαρσις κατὰ τὸν ἀριθμὸν τῆς ἁγίας ἀποτελεῖται τριάδος.

Καὶ ἐθυμώθη Νεεμμάν.] Οὐ νοῶν, ὅτι Ἰωάννης ἡμῶν ἐστιν ὁ ἀπολύων τοὺς διὰ τὴν λέπραν ἀκαθάρτους, καὶ ἰώμενος. προφήτου δὲ ἔργον, πέμψαι ἐπὶ τὸν θεραπεύοντα. τὸ δὲ ἐπιθεῖναι τὴν χεῖρα, καὶ καθαρίσαι, μόνου τοῦ κυρίου μου Ἰησοῦ ἔργον ἦν.

Accipite farinam , & mittite in lebete.] Non farinæ vis, & natura, ſed gratia, qua propheta præditus fuit, herbæ mortiferæ vim, & effectum, hebetauit. Quemadmodum fontis etiam ſterilitatem ſal non mutauit.

Cap. V.

Lauare Iordane ſepties.] Ipſum quidem, vt leproſum, videre ſuſtinuit; vt qui legibus ſubiectus eſſet. Imperat autem ei rem propoſitam. Corporis enim lepra erat, quod corpus ex quatuor elementis conſtat. Septem verò diebus præſens vita reuoluitur. Porrò animæ purgatio iuxta numerum ſanctæ Trinitatis perficitur.

Et iratus eſt Naeman.] Non intelligens, Ioannem noſtrum illum eſſe, qui lepra infectos abluit, & ſanat. Prophetæ verò officium eſt, & munus, remittere ad illum, qui ſanat. Manum verò imponere, & mundare, ſolius Domini noſtri Iesv Chriſti erat,

erat, qui credenti hoc ſolum dixit: Volo ſis mundus. Et ad hunc ſermonem eum attigit, & à ſua lepra mundatus eſt.

Et noluit accipere.] Propheta enim paupertatem ſummopere expetendam omnibus diuitijs antepoſuit, ſequutus euangelicum præceptum: Gratis accepiſtis, gratis date.

Et propter rem iſtam, propitius ſit mihi Dominus.] Veniam peto, inquit, ſi mandati regij neceſſitate impulſus, ad falſum Deum ingrediar.

CAP. IV.

Heu Domine, & ipſum mutuo acceptum.] Inuocantis, non blaſphemantis, vox eſt. quemadmodum illud quoque apud Dauidem: Salua Domine, benè proſperare. Heliſæus autem propheta rebus ipſis declarauit, firmum Dei ſermonem. quoniam contemptim reiectum non inuenimus, nos denuò per crucis diſpenſationem receptu-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

τούτου μόνον εἰπόντος τῷ πιστεύσαντι, θέλω καθαρίσθητι. πρὸς γὰρ τῷ λόγῳ καὶ ἥψατο αὐτοῦ, καὶ ἐκαθαρίσθη ἀπὸ τῆς λέπρας αὐτοῦ.

Καὶ οὐκ ἠθέλησε λαβεῖν.] Ὁ γὰρ προφήτης τὴν πολυπόθητον πενίαν παντὸς προτετίμηκε πλούτου, τὴν Εὐαγγελικὴν προλαβὼν νομοθεσίαν. δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Καὶ περὶ τοῦ λόγου ἱλάσεταί μοι κύριος.] Συγγνώμην αἰτῶ, φησι, διὰ τὴν βασιλικὴν ἀνάγκην ἀναγκαζόμενος πρὸς τὸν ψευδώνυμον θεὸν εἰσελθεῖν.

ΚΕΦ. ς'.

Ὦ δὴ κύριε καὶ αὐτὸ κεχρημένον.] Ἐπικλήσεως, οὐ βλασφημίας, ὁ λόγος. ὡς τὸ παρὰ τῷ Δαβὶδ τό. ὦ κύριε, σῶσον δή· ὦ κύριε, εὐόδωσον δή. διὰ δὲ τῶν ἔργων ὁ προφήτης Ἐλισσαῖος ἀπέδειξεν, ὅτι τὸν στερεὸν λόγον τοῦ θεοῦ, ὃν ἀμελῶς ἀποβαλόντες οὐχ εὑρίσκομεν, ἀποληψόμεθα πάλιν διὰ τοῦ τοῦ

ξύλου οἰκονομίας. ὅτι γὰρ ἀξίνη παρέοικεν ὁ τοῦ θεοῦ λόγος, Ἰωάννης ὁ Βαπτιστής φησι περὶ αὐτοῦ. ἤδη δὲ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. καὶ Ἱερεμίας φησίν. ὁ λόγος κυρίου ὡς πέλυξ κόπτων πέτραν. τοῦτο οὖν κεκρυμμένον ἀφ' ἡμῶν ἡ τοῦ ξύλου πεφανέρωκεν οἰκονομία. ἐπεὶ γὰρ διὰ ξύλου ἀπεβάλομεν αὐτὸν, διὰ ξύλου πάλιν εἰλήφαμεν, ἐπιδεικνῦντος τὸ ὕψος, καὶ μῆκος, καὶ πλάτος, καὶ βάθος, ἐν αὐτῷ. τῇ γὰρ θείᾳ τῶν χειρῶν ἐκτάσει τοὺς δύο λαοὺς εἰς μίαν συνήγαγε κεφαλὴν τὸν πατέρα. ὅτι εἷς θεὸς, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν.

Τὸ φελμωνί.] Ὡς ἂν εἴποι τις, εἰς τόνδε τὸν τόπον.

Καὶ ἀποσταλήτωσαν εἰς τὸν κύριον αὐτῶν.] Εἰ σφαγήσονται, φησιν, οὐ γνωσθήσεται τῆς θαυματουργίας τὸ μέγεθος· εἰ δὲ πάλιν ἐπανέλθοιεν πρὸς τὸν πέμψαντα, μαθήσεται κἀκεῖνος τοῦ θεοῦ τοῦ ἡμετέρου τὴν δύναμιν.

recepturos eſſe. Nam quod verbum Dei ſimile ſit ſecuri, Ioannes Baptiſta innuit, dicens: iam ſecuris ad arborum radicem poſita eſt. Sic Ieremias quoque dicit: ſermo Domini eſt inſtar ſecuris, ſcindentis petram. Hoc igitur nobis abſconditum ligni diſpenſatio manifeſtauit. Cum enim per lignum verbum amiſerimus, denuò recipimus per lignum, altitudinem, longitudinem, latitudinem, & profunditatem, in eo oſtendens. Diuina enim manuum extenſione duos populos ſub vnum caput, videlicet patrem, congregauit. Vnus enim eſt Deus, qui eſt ſuper omnia, per omnia, & in omnibus.

Phelmoni.] Ac ſi quis dicat, in, vel ad, hunc locum.

Et remittentur ad Dominum ſuum.] Quod ſi occidantur, inquit, ingens hoc miraculum non innoteſcet; ſin verò denuò ad illum reuertantur, qui miſit eos, cognoſcet, & diſcet ipſe quoq;, Dei noſtri potentiam, & virtutem.

Stercoris columbarum.] Obſidionis enim neceſſitas, loco ſalis ſtercore eos vti docuit.

Si ſtabit caput Heliſæi.] Supplicare prophetæ eum decebat, vt pro ipſo apud Deū intercederet. Minatur autem ſe eum interfecturum, vt qui induſtria maximam illam calamitatem negligat, & aſpernetur. Sed ſtatim ductus pœnitentia, ſequutus eſt, vt cædem prohiberet. id declarat, quod ſcriptura dicit: ecce nonne ſtrepitus pedum Domini ipſius?

CAP. VIII.

Habitauit in terra Palæſtinorum.] Non vtique vniuerſam terram fames premebat, ſed Iſrael tantum plagis diuinitus immiſſis caſtigatus eſt, poſt tantam impiorum diligentiam, & curam. Cęterùm famis duplex tempus duplicem portionem donorū, quę Heliſæo conceſſa fuerunt, ſignificat.

Et venit Heliſæus in Damaſcum.] Helias tranſla-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Κόπρου περιστερῶν.] Ἡ γὰρ τῆς πολιορκίας ἀνάγκη παρεσκεύαζεν αὐτοὺς ἀντὶ ἄλλων κεχρῆσθαι τῇ κόπρῳ.

Εἰ στήσεται ἡ κεφαλὴ Ἐλισαιέ.] Δέον ἱκετεῦσαι τὸν προφήτην, ὥστε τὴν ὑπὲρ αὐτοῦ πρεσβείαν προσενεγκεῖν τῷ θεῷ. ἠπείλησεν ἀναιρεῖν ὡς ἐπίτηδες παρορῶντα τῆς συμφορᾶς τὴν ὑπερβολήν, ἀλλ' εὐθὺς μεταμεληθεὶς, ἔδραμε τὸν φόνον ἐπισχεῖν. τοῦτο γὰρ δηλοῖ τό· οὐκ ἰδοὺ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ;

ΚΕΦ. Η'.

Καὶ παρῴκει ἐν γῇ ἀλλοφύλων.] Οὐκ ἄρα πάσης ἦν τῆς γῆς ὁ λιμὸς, Ἰσραὴλ δὲ μόνος θεηλάτοις πληγαῖς ἐπαιδεύετο μετὰ τοσαύτην ἐπιμέλειαν δυσσεβῶν. τῆς δὲ τοῦ προφήτου χάριτος τὸ διπλοῦν, ὁ τοῦ λιμοῦ διπλάσιος χρόνος δηλοῖ.

Καὶ ἦλθεν Ἐλισαιὲ εἰς Δαμασκόν.] Ὁ

γὰρ οὐκ ἔφθασεν ἀναληφθεὶς Ἡλίας ποιῆσαι, προστάξαντος τοῦ θεοῦ, τόν τε Ἀζαὴλ χρῖσαι ἐπὶ Συρίας, καὶ τὸν Ἰηοῦ ἐπὶ Ἰσραὴλ, τοῦτο νῦν Ἐλισσαῖος ἥκει ποιήσων, ἐθέλων πρῶτον χρῖσαι τὸν Ἀζαήλ.

Καὶ εἶπε αὐτῷ, ζῶν ζώσῃ.] Μὴ μηνύσης αὐτῷ τὸν θάνατόν φησιν, ἵνα μὴ μετ᾽ ἀθυμίας ὑπεξέλθοι τὸν βίον.

Καὶ ἐπέβαλεν ἐπὶ τό πρόσωπον αὐτοῦ, καὶ ἀπέθανεν.] Ἦν γάρ, φησιν Ἰώσηππος, ἀσεβής τε καὶ μιαιφόνος. αὐτὸς γὰρ εἰρήκει, θεὸς ὀρέων ὁ θεὸς Ἰσραήλ. καὶ σωθεὶς ὑπὸ Ἀχαὰβ, ἀχάριστος περὶ τὸν εὐεργέτην ἐγένετο. ὅρα δὲ τῆς κακῆς συγγενείας τὸ τέλος. υἱὸς γὰρ ὢν Ἰωσαφὰτ ἀνδρὸς εὐσεβοῦς Ἰωρὰμ, ὑπὸ τῆς ὁμοζύγου, θυγατρὸς Ἀχαὰβ, πρὸς ἀσέβειαν ἔκλινεν.

Καὶ ἐπέπεσεν ἐπὶ τὸν Ἐδώμ.] Ἦρχε τῶν Ἰδουμαίων ὁ τῆς Ἰούδα φυλῆς βασιλεύς. ἀλλ᾽ Ἰσαὰκ προειρήκει περὶ Ἐδώμ. ἔσται καιρὸς ἡνίκα ἂν καθέλῃς, καὶ ἐκλύσῃς,

τὸν

tranſlatione in cœlos præuentus, facere non potuit, quæ à Deo in mandatis habebat; nempe, vt Aſahelem regem Syriæ, & Iehu regem Iſraelis inungeret. Idipſum nunc Heliſæus facturus venit, volens primum Aſahelem inungere.

Et dic ei, viuendo viues.] Ne ſignifices eum moriturum, inquit, ne cum mœrore è vita decedat.

Poſuit faciem eius, & mortuus eſt.] Erat enim, vt Ioſephus dicit, impius, & homicida. Ipſe enim dixerat, Deus montium eſt Deus Iſraelis. Et, ab Achabo ſeruatus, ingratus fuit in benefactorem. Vide autem, qualem exitum affinitas cum malis contracta ſortiatur. Nam, licet Ioram, pij & religioſi viri, Ioſaphat filius eſſet, tamen, propter vxorem ſuam, filiam Achabi, in impietatem declinauit.

Et irruit in Edom.] Rex tribus Iuda Idumæis imperauit. Iſaac verò de Edom prædixerat: tempus veniet, vt iugum ipſius

con-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

conteras, & excutias de collo tuo. Nunc enim, obtinentes victoriam, deinceps imperium pati recuſarunt.

CAP. IX.

Cape lenticulam olei.] Per alium prophetam vnxit Iehu. Vtile enim erat, vt hoc clàm perficeretur, vt Ioram etiam breui interficeretur. Nam, ſi præſciuiſſet, inſtructa acie multos cadere fuiſſet neceſſe.

Et fugies, & non manebis.] Ne comprehenſus periculũ incurras. Vult enim Deus, vt humano ordine, & medijs, vtamur. Illos enim, quos ratione Deus ornauit, quãtum neceſſe eſt, vti ratione conuenit.

Quare ingreſſus eſt inſanus iſte ad te?] Seruos Dei, tanquam impios, contumelia afficiebant; & libertatem loquendi, qua vtebantur, inſaniam appellabant. Iehu verò nugatorem, & garrulum, vocauit prophetam; non quod contumelioſus in eum eſſet, ſed vt occultè lateret.

Ara-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου. νικῶσι γὰρ καὶ νικηθέντες, ἄρχεσθαι λοιπὸν οὐκ ἠνείχοντο.

ΚΕΦ. Θ΄.

Καὶ λάβε τὸν φακὸν τοῦ ἐλαίου.] Δι' ἄλλου προφήτου κέχρικε τὸν Ἰηοῦ. λάθρα γὰρ τοῦτο γενέσθαι συνέφερεν. ὥστε καὶ συντόμως ἀναιρεθῆναι τὸν Ἰωράμ. εἰ γὰρ προῄσθετο, διὰ παρατάξεως πολλοὺς ἦν ἀνάγκη πεσεῖν.

Καὶ φεύξῃ, καὶ οὐχ ὑπομενεῖς.] Ἵνα μὴ συλληφθεὶς κινδυνεύσῃ. βούλεται γὰρ ἡμᾶς ὁ θεὸς καὶ ἀνθρωπίναις οἰκονομίαις κεχρῆσθαι. τοὺς γὰρ λόγῳ τιμηθέντας, εἰς δέον προσήκει κεχρῆσθαι τῷ λόγῳ.

Τί ὅτι εἰσῆλθεν ὁ ἐπίληπτος οὗτος πρός σε;] Ὡς δυσσεβεῖς ὕβριζον τοῦ θεοῦ τοὺς θεράποντας, καὶ τὴν αὐτῶν παῤῥησίαν μανίαν ἐκάλουν. Ἰηοῦ δὲ οὐχ ὡς παροινῶν ἀδολέσχην ἐκάλεσεν, λανθάνειν δὲ πειραθείς.

Ἀραμείν.] Τοὺς Σύρους οὕτως ἐκάλεσεν. Ἀραμαῖ γὰρ, οἱ Σύροι. οὕτω δὲ καὶ οἱ ἄλλοι ἑρμήνευσαν.

Καὶ ἡ ἀγωγὴ, ἀγωγὴ Ἰηοῦ.] Πόῤῥωθεν ὁ σκοπὸς, θεασάμενος ὡς οἱ μὲν ἀποσταλέντες οὐκ ἀνέστρεψαν, ὁ δὲ τοῦ πλήθους ἡγούμενος ἔοικεν εἶναι Ἰηοῦ. τοῦτο γὰρ τὸ σχῆμα ἐδήλου. ἐμήνυσεν, ὅπερ ἑώρακεν. ἔνια μὲν τῶν ἀντιγράφων ἔχει. καὶ ὁ ἄγων ἦγε τὸν Ἰηοῦ ὁ θεός.

ΚΕΦ. Ι.

Ἰδοὺ ἐγὼ συνεστράφην.] Ἐγώ, φησιν, ὡς τυραννῆσαι βουλόμενος, ἀνεῖλον τὸν Ἰωράμ. τοὺς δὲ ἀδελφοὺς αὐτοῦ, ἑβδομήκοντα ὄντας τὸν ἀριθμὸν, τίς ἀνεῖλεν; οὐχ ἡ θελήματος ὀργὴ, τοῖς οἰκειοτάτοις ὑπουργοῖς χρησαμένη; ἀψευδεῖς ἄρα τῶν προφητῶν αἱ προῤῥήσεις.

Καὶ πάντας τοὺς γνωστοὺς αὐτοῦ.] Τοὺς μάντεις, τοὺς οἰομένους εἰδέναι τὰ μέλλοντα.

ὥσπερ

Arameim.] Syros hoc modo appellauit. Arama enim, Syri. ſic etiam alij expoſuerunt.

Inceſſus Iehu.] Speculator enim conſpicatus, quod emiſſi non reuerterentur, cumq́ue dux turbæ, Iehu ſimilis eſſe videretur, (habitus enim id declarabat) ſignificauit quidnam vidiſſet. Quædam enim exemplaria habent: Deus dux, duxit ipſum Iehu.

CAP. X.

Ecce ego conuerſus ſum.] Ego, inquit, vt regnum occupem, ſuſtuli Ioram; fratres verò ipſius, numero ſeptuaginta, quis ſuſtulit, nonne voluntaria ira, quæ domeſticis ad hoc miniſtris vſa eſt? Non igitur vana ſunt prophetarum vaticinia.

Omnes ſcientia, & cognitione, præditos.] Per γνώστας intelligit augures, & aruſpices, qui futura prouidere putabantur. Nam

quemadmodum prophetas videntes (ὁρῶντας καὶ βλέποντας) appellabant : ſic illos quoque, vt qui futura, & árcana, cognoſcerent.

Et inuenit Ionadab.] Non ipſe tantum vir pius, & religioſus, erat; ſed ex pio etiam genere: in tentorijs enim perpetuo degebant, & ab vini vſu abſtinebant. Hieremias propheta illorum cum laude mentionem fecit. Hoc verò, benedixit eum, idem eſt, quod, alloquutus eſt eum.

Ego ſeruiam ei multum.] Conſilium, & ſcopum, obſeruare oportet. fecit enim hoc, ne quiſpiam per fugam elaberetur. ſacerdotes verò Dei, tanquam indignos, abegit; cauens nimirum, ne quid aduerſi paterentur.

A ſiniſtris Baalim. ἐξ ἀριστερῶν τοῦ Βααλίμ.] Templum Baal hoc modo appellauit.

CAP. XI.

Et Ochozias ad Aſahelem profectus eſt.] Achabi enim gener erat.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ὥσπερ γὰρ ὁρῶντας, καὶ βλέποντας, τοὺς προφήτας ἐκάλουν, οὕτω καὶ τούτους, ὡς τὰ μέλλοντα δῆθεν, καὶ τὰ κεκρυμμένα, γινώσκοντας.

Καὶ εὗρε τὸν Ἰωναδάβ. Εὐσεβὴς ἀνὴρ καὶ αὐτὸς, καὶ τὸ γένος. ἐν σκηναῖς γὰρ διετέλεσαν κατοικοῦντες, καὶ τῆς τοῦ οἴνου πόσεως ἀπεχόμενοι. τούτων καὶ ὁ προφήτης Ἱερεμίας ἐν ἐπαίνοις ἐμνήσθη. τὸ δὲ, καὶ εὐλόγησεν αὐτόν· ἀντὶ τοῦ, προσεῖπεν αὐτόν.

Καὶ ἐγὼ δουλεύσω αὐτῷ πολλά.] Τὸν σκοπὸν ὁρᾶτέον, εἰ καὶ οἱ λόγοι ψεκτοί. τοῦτο γὰρ πρὸς τὸ μηδένα διαφυγεῖν. τοὺς δὲ θείους ἱερέας, ὡς ἀναξίους δῆθεν, ἀπήλασε, τὸ μὴ παθεῖν φυλαττόμενος.

Ἐξ ἀριστερῶν τοῦ Βααλίμ.] Τὸν τοῦ Βαὰλ σηκὸν οὕτως ἐκάλεσεν.

ΚΕΦ. ΙΑ΄.

Καὶ ἐπορεύθη Ὀχοζίας ἐπὶ Ἀζαήλ.] Ὅτι γαμβρὸς ἦν τοῦ Ἀχάβ.

Καὶ ἀπώλεσε πᾶν τὸ σπέρμα τῆς βασιλείας.] Ὡς ἀσεβὴς, καὶ κρατῦναι θέλουσα τοῖς ὑπηκόοις τὴν ἀσέβειαν, ὡς εὐσεβὲς τὸ βασιλικὸν ἄρδην ἀφανίσαι γένος ἠθέλησεν. ἀλλ' ὁ πάντα σοφῶς ἰθύνων θεὸς παρεσκεύασεν αὖθις τῇ βασιλικῇ τὴν ἱερατικὴν μιγῆναι φυλὴν, καὶ τὸν Ἰώδαε, τὸν σοφώτατον ἱερέα, γῆμαι τὴν Ἰωσαβεαὶ τοῦ Ἰωρὰμ θυγατέρα. ἵνα φυλαχθῇ τοῦ βασιλικοῦ γένους ὁ σπινθήρ. ἔκλεψε γὰρ αὕτη τὸν ἀδελφιδοῦν Ἰωὰς, ὃν ὁ σοφὸς ἱερεὺς τῇ βασιλείᾳ μεθ' ἕκτον ἔτος ἀπέδωκεν.

Τὸν Χορρὶ, καὶ τὸν Ῥασίμ.] Τοὺς δρομεῖς, καὶ τοὺς δορυφόρους. τινὲς δὲ, ἀσπιδηφόρους, καὶ δορυφόρους. παρατρέχοντας δὲ λέγει, τοὺς ἡγουμένους τοῦ βασιλέως, τούτους τριχῇ διελών. τοὺς μὲν, ἐκέλευσε φυλάττειν τοῦ βασιλέως τὸν οἶκον· τοὺς δὲ, τὴν εἴσοδον τοῦ νεώ· τοὺς δὲ, τὴν πύλην τὴν ἑτέραν.

Μεσαέ.] Τὸ Μεσαὲ οἱ λοιποὶ ἀπὸ διαφθορᾶς ἑρμήνευσαν. δηλοῖ δὲ, ὥστε μηδε-

Deleuit omne ſemen regium.] Impia enim cum eſſet, & ſubditis impietatem obtrudere, & imperare, decreuiſſet; genus regale, quippe religioſum, funditus delere, & extirpare voluit. Deus autem, qui omnia ſapienter gubernat, & dirigit, ordinauit iterum, vt regia familia ſacerdotali miſceretur: vtque Ioiada pontifex ſapientiſſimus Ioſabeæ filiam Ioram vxorem duceret, vt ſcintillula regij generis conſeruaretur. Ipſa enim clam ſubtraxit nepotem ex fratre Ioam, quem prudens ille ſacerdos, poſt ſextum tandem annum, regno reſtituit.

Chorri, & Raſim.] Curſores, & ſatellites: alij ſcutiferos, & ſatellites, exponunt. Iuxta currentes verò vocat præcedentes, & deducentes regem. Illos in tres ordines diſtribuit: alios enim, regiam cuſtodire iuſſit: alios, templi veſtibulum: alios, portam alteram.

Meſſae.] Hoc vocabulum reliqui ἀπὸ διαφθορᾶς, id eſt, ab interitu, expoſuerunt.

Signi-

Significat autem, nullum damnum domui Dei illatum eſſe. Hoc verò, duæ manus in vobis, pro eo quod eſt, integri eſtis, & ſani, & idonei ad cuſtodiendam domum Dei, & domum regis.

Ingrediens in Sideroth morietur.] In libro Paralipomenon ſic dicitur; ingrediens in domum morietur. Similiter etiam Ioſephus habet.

Ab humero domus dextero.] Significat, quod Leuitæ, lunæ in ſpeciem figurã conſtituentes, cornua domui coniuncta habuerunt; & regem, qui in medio erat, cuſtodiebant. Exercitus verò armatus foris ſtabat, exſpectans, & cohibens illos, qui ingredi tentabant.

Poſuit ſuper eum ſanctificationem, & teſtimonium.] Liber Paralipomenon habet, τὸ βασίλειον, ſignum regale, & teſtimonium. ἁγίασμα quidem vnctionem ſignificat, μαρτύριον verò coronam regiam, σωώδεσμον autẽ tyrannidem, quemadmodum ante dixi, nominabant. Dicit autem extra Saderoth

Atha-

μηδεμίαν γίνεσθαι βλάβην ἐν τῷ οἴκῳ τῷ θείῳ. τὸ δὲ, δύο χεῖρες ἐν ὑμῖν, ἀντὶ τοῦ, ἄρτιοι ἐστε, καὶ ὑγιεῖς, καὶ ἱκανοὶ φυλάξαι, καὶ τὸν οἶκον τοῦ θεοῦ, καὶ τὸν οἶκον τοῦ βασιλέως.

Ὁ εἰσερχόμενος εἰς τὰ Σιδηρὼθ, καὶ ἀποθανεῖται.] Οὕτως ἐν Παραλειπομένοις φησίν. καὶ ὁ εἰσπορευόμενος εἰς τὸν οἶκον, ἀποθανεῖται. καὶ Ἰώσηππος ὁμοίως.

Ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς.] Δηλοῖ ὡς μηνοειδὲς οἱ Λευῖται σχῆμα ποιήσαντες τὰ κέρατα εἶχον συνημμένα τῷ οἴκῳ. ἐν μέσῳ δὲ ὄντα τὸν βασιλέα ἐφρούρουν. ὁ δὲ στρατὸς ὁπλοφορῶν ἔξω εἱστήκει, τοῦ εἰσιέναι πειρωμένους ἐπέχων.

Καὶ ἔδωκεν ἐπ' αὐτὸν τὸ ἁγίασμα, καὶ τὸ μαρτύριον.] Ἐν Παραλειπομένοις ἔχει τὸ βασίλειον, καὶ τὸ μαρτύριον. δηλοῖ δὲ τὸ μὲν ἁγίασμα, τὸ χρίσμα· μαρτύριον δὲ, τὸν βασιλικὸν στέφανον. σύνδεσμον δὲ τὴν τυραννίδα, καθὰ προεῖπον, ὠνόμαζον. ἔξωθεν δέ, φησι, τὴν Σιδηρὼθ ἀναιρεθῆναι

τὴν Γοθολίαν προσέταξεν. ἐν δὲ ταῖς Παραλειπομένοις, ἐκτὸς τοῦ οἴκου φησίν.

Διαθήκην ἀνὰ μέσον κυρίου.] Συνθήκην, ὡς οἱ λοιποὶ τῶν Ἑρμηνευτῶν ἐξέδωκαν ἀλλαχοῦ. ὅρους γὰρ αὐτοῖς, καὶ νόμους, παρέδωκε δουλεύειν κυρίῳ. φῶς δὲ, ὡς ἀληθῶς, διδάσκαλος ἀγαθός· οὗ ζῶντος, ἐλάτρευον τῷ θεῷ. πλὴν καὶ οὕτως ἦσαν ἀτελεῖς, θύοντες ἐπὶ τῶν ὑψηλῶν τῷ θεῷ, καὶ οὐκ ἐν νόμῳ τῷ θεῷ, καθὰ διέταξεν ὁ νόμος.

ΚΕΦ. ΙΒ΄.

Ἀργύριον συντιμήσεως ἀνδρός.] Ἔφη γὰρ ἐν Δευτερονομίῳ, τοὺς ὑπὲρ ἑαυτῶν παρέχοντας τιμὴν τῷ θεῷ, πόσους σίκλους προσήκει διδόναι. ὅπερ νῦν ἀργύριον Ἰωὰς προσέταξε τοὺς ἱερέας κομίσασθαι, καὶ θεραπεύειν τὰ πάσχοντα τοῦ ναοῦ, φθειρομένων ξύλων, ἢ λίθων. τοῦτο γὰρ δηλοῖ τὸ δὲ Βὲκ, ὅπερ ἐν Παραλειπομένοις ἐπισκευάσαι τὸν οἶκον κυ-

ρίου

Athaliam interfici imperaſſe. In libro Paralipomenon extra domum inquit.

Fœdus [διαθήκην] *inter Dominum.*] συνθήκην, hoc eſt fœdus, & pactum, vt reliqui interpretes vbique reddiderunt. Regulam enim, & leges, præſcripſit, vt Deo ſeruirent. Verè autem bonus magiſter lux eſt; quo viuente, Dominum coluerunt. Adeò tamen erant imperfecti, vt in excelſis Deo ſacrificarent, & non in templo, ſicut in lege erat præſcriptum.

CAP. XII.

Argentum æſtimationis viri.] Dicit enim in Deuteronomio de illis, qui ſua ſponte Domino munus conferunt, quot ſiclos eos dare conueniat. quam pecuniam Ioas nunc ſacerdotes colligere præcepit, & reficere ligna, & lapides, in templo. Hoc enim ſignificat illud Bek, quod in

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Paralip. dicit præparare templum Domini, & iterum curare domum Domini.

Cap. XIII.

Et pœnitentia ductus eſt Dominus, & miſertus eſt eorum.] Pœnitentiam vocat mutationem infelicitatis in felicitatem.

Accipe arcum, & ſagittas.] Non enim tantum credebant nudis ſermonibus, quantum prædictionibus, quæ per opera edebantur. Exiſtimans autem ſua ſponte complures ſagittas emiſſurum, primo emiſſo, dixit, ſagitta ſalutis, &c. Poſtquam verò tres ſolum emiſit, dolore affectus eſt, eò quod tertio proſpero quidem ſucceſſu deſtituendus, non tamen omnino excindendus eſſet.

Cap. XIV.

Carduus in Libano.] Ameſias, lege belli in Iudæos imperium tenens, ſperauit ſe decem quoque tribus domiturum, & regem Iſraelis ad pugnam prouocabat.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

είου λέγει. καὶ πάλιν, τὸ θεραπεῦσαι τὸν οἶκον κυρίου.

ΚΕΦ. ΙΓ΄.

Καὶ μετεμελήθη κύριος, καὶ οἴκτειρεν αὐτούς.] Μεταμέλειαν καλεῖ τὴν ἀπὸ τῆς δυσκληείας εἰς εὐκληείαν μεταβολήν.

Λάβε τόξον, καὶ βολίδας.] Οὐχ οὕτω γὰρ ἐπίστευον τοῖς λόγοις, ὡς τοῖς δι' ἔργων προρρήσεσιν. ὑπολαβὼν δέ, ὡς αὐτόματος ἀφήσει βέλη πολλά, τὸ πρώτου πεμφθέντος, ἔφη, βέλος σωτηρίας, καὶ τὰ ἑξῆς. ὡς δὲ τρία μόνα ἐξέπεμψεν, ἠχθέσθη, ὡς τῆς Συρίας τρίτον ἡττημένης, ἀλλ' οὐ πανωλεθρίαν δεχομένης.

ΚΕΦ. ΙΔ΄.

Ὁ ἄκχαν ὁ ἐν τῷ Λιβάνῳ.] Ἀμεσσίας, τῷ Ἰουδαίων νόμῳ πολέμου κρατήσας, ἤλπισε καὶ τὰς δέκα νικήσειν φυλάς. καὶ προεκαλεῖτο πρὸς μάχην τὸν βασιλέα τοῦ

Ἰσραήλ. ὁ δὲ τὴν παροιμίαν ἐδήλωσεν, ἑαυτὸν ἀπεικάσας τῇ κέδρῳ, ἐκεῖνον δὲ τῷ ἀκχάν.

Καὶ τοὺς υἱοὺς τῶν συμμίξεων τῶν βδελυγμάτων.] Τουτέστι, τοὺς τῶν ψευδωνύμων θεῶν ἱερέας, τὸ ἄτακτον αὐτῶν πλῆθος δηλῶν.

Τὴν Αἰλώμ.] Τὴν νῦν ὀνομαζομένην Ἀϊλάν, ἐπὶ τῷ στόματι τοῦ Ἀραβικοῦ κόλπου κειμένην, ὃν ἐρυθρὰν προσαγορεύουσι θάλατταν.

ΚΕΦ. ΙΕ΄.

Καὶ ἥψατο κύριος τοῦ βασιλέως.] Σαφέστερον τὸ κατὰ τοῦτον ἐν Παραλειπομένοις φησίν.

Ἐν οἴκῳ Ἀπφουσώθ.] Οἱ λοιποὶ κρυφαίως ἐξέδωκαν.

ΚΕΦ. Ις΄.

Καὶ τοὺς υἱοὺς αὐτοῦ διῆγεν ἐν πυρί.] Ἔοικε δη-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

bat. Ille verò parabolam ei propoſuit, ſeipſum cedro comparans, illum verò carduo.

Et filios commixtionum abominationum.] Hoc eſt, falſorum Deorum ſacerdotes, promiſcuam ipſorum multitudinem ſignificans.

Aelom.] Quæ hodie Aila nominatur, ſita iuxta oſtium ſinus Arabici, quem mare rubrum appellant.

CAP. XV.

Et tetigit Dominus regem.] Planius de rebus huius regis loquitur liber Paralip.

In domo Apphuſoth.] Reliqui κρυφαίως, latenter, expoſuerunt.

CAP. XVI.

Et filios ſuos traduxit per ignem.] Videtur

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

tur ſignificare ſpeciem erroris,qui ad noſtra vſque tempora peruenit. In quibuſdam enim vrbibus ſemel in anno accenſas pyras per plateas quidam inſpexerunt, & per illas tranſilientes , & ſaltantes, non pueros modo, ſed etiam viros. Infantes autem à matribus geſtatos per flammam, nimirum propter depulſionem malorum, & luſtrationem. Ioſephus autem dicit, Achas vnum ex filijs totum ipſi Baal combuſſiſſe.

Et vidit altare.] Non Deo, Vniuerſi conditori,videtur conſtructum fuiſſe, ſed idolo cuidam. Hoc enim in libro Paralipomenon innuitur, inquiens. & addidit Achaz, vt à Deo deficeret, & dixit, quæram Deos Damaſci,percutientes me, &c.

Aeneum altare.] Quod ædificauit Solomon.

Cathedræ ſabbathorum.] Ante templum locum habebat, vbi ante tempus ſacrificiorum, aut his etiam peractis, ſedebat. illum

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

κε δηλοῦν τὸ μέχρις ἡμῶν φθάσαν τῆς πλάνης εἶδος. ἔν τισι γὰρ πόλεσιν ἅπαξ τοῦ ἔτους ἐν ταῖς πλατείαις ἁπτομένας πυρὰς ἐθεάσαντό τινες, καὶ ταύτας ὑπεραλλομένους τινὰς, καὶ πηδῶντας, οὐ μόνον παῖδας, ἀλλὰ καὶ ἄνδρας. τὰ δὲ βρέφη παρὰ τῶν μητέρων παραφερόμενα διὰ τῆς φλογὸς, πρὸς ἀποτροπιασμὸν δῆθεν, καὶ κάθαρσιν. Ἰώσηππος δὲ καὶ τὸν ἕνα τῶν υἱῶν ὁλοκαυτῶσαί, φησι, τὸν Ἀχὰζ τῷ Βαάλ.

Καὶ εἶδε τὸ θυσιαστήριον. Ἔοικεν οὐ τῷ τῶν ὅλων θεῷ τοῦτο πεποιηκέναι, ἀλλ᾽ εἰδώλῳ τινί. τοῦτο γὰρ ἐν Παραλειπομέναις αἰνίττεται, λέγων· καὶ προσέθηκεν Ἀχὰζ τοῦ ἀποστῆναι κυρίου. καὶ εἶπεν. ζητήσω τοὺς θεοὺς Δαμασκοῦ, τοὺς τύπτοντάς με. καὶ τὰ ἑξῆς.

Τὸ δὲ χαλκοῦν θυσιαστήριον.] Ὃ κατεσκεύασε Σολομῶν.

Τῆς καθέδρας τῶν σαββάτων.] Πρὸ τοῦ νεὼ τόπον εἶχεν, ἔνθα πρὸ τοῦ καιροῦ τῶν θυσιῶν, ἢ καὶ μετὰ ταύτας, ἐκαθέζετο. τοῦ-

τὸν νεὼν ἔνδον ἐποίησεν τοῦ ναοῦ, καὶ τὴν βασι-
λείων τὴν θύραν μετέστησε, τὴν δίοδον
διὰ τῶν ἱερῶν περιβόλων ποιούμενος· ὅπερ
ἦν τὸ αὐτὸ ἀσεβές. τοῦτο δὲ πεποίηκε δῆ-
θεν, ἵν', εἰ πολιορκοῖτο τὰ βασίλεια, δύναιτο
ἐπ' ἀδείας εἰς τὸν νεὼν εἰσιέναι, συνημμέ-
νην ἔχων τὴν εἴσοδον· ὃ δηλοῖ τὸ. ἀπὸ προ-
σώπου τοῦ βασιλέως Ἀσσυρίων.

ΚΕΦ. ΙΖ.

Στήλας, καὶ ἄλση.] Πανταχοῦ τὸ ἄλ-
σος οἱ λοιποὶ Ἀσαρὼθ ἑρμηνεύουσιν. δη-
λοῖ δὲ τοῦτο τὴν Ἀστάρτην, ἤγουν Ἀφροδί-
την· ἐν παντὶ δὲ τόπῳ, φησὶ, βωμοὺς οἰκο-
δομῆσθαι τοῖς δαίμοσι, καὶ οὐ μόνον ἐν πόλε-
σι, καὶ κώμαις, ἀλλὰ καὶ ἐν τοῖς κατὰ τὴν ὁδὸν
πύργοις, ἐν οἷς ὀλίγοι τινὲς εἰώθεσαν φρυκ-
τωρεῖν. ἐνταῦθα δὲ ὑψηλὰ τὰ τεμένη τῶν
δαιμόνων ἐκάλεσεν.

Καὶ ἐποίησαν κοινωνούς.] Δοκεῖ τὴν

illum in templo collocauit, & regum oſtium tranſtulit, introitum per ſacerdotum ambitum faciens, idipſum etiam impium erat. Idcirco autem hoc fecit, vt, ſi quando regia obſidione cingeretur, poſſet abſque metu, & periculo, templum ingredi, adiunctum habens introitum. Hoc enim illud ſignificat, quod dicit, à facie regis Aſſyriorum.

CAP. XVII.

Statuas, & lucos.] Reliqui vbique lucum Aſtaroth interpretantur. Hoc verò Aſtarthen ſignificat, ſcilicet Venerem. Dicit autem in omni loco altaria dæmonibus erecta eſſe, non modo in vrbibus, & vicis; ſed in turribus, etiam, iuxta viam poſitis: in quibus pauci quidam cuſtodiam nocturnam agere, & facibus eleuatis ſignum dare conſueuerant. Hoc autem loco lucos dæmonum excelſa appellauit.

Et fecerunt participes.] Conſenſionem

cum gentibus hoc modo videtur appellare, & omnes illos, quotquot eos impietatem docuerunt, vt in ſequentibus latenter innuitur. Et fecerunt Ephod aptum prædictionibus augurum, etiam ipſe Iudas. non quidem propter regni diuiſionem, quemadmodum dicere aliquis poſſet, & quod Hieruſalem procul abeſſet, impius fuit Iſrael, cum ipſe etiam Iudas talis fuerit.

Et tranſlatus eſt Iſræel de terra ſua in Aſſyrios vſque ad hunc diem.] Hoc etiam ſignificat, ſcriptorem poſteriorem ex prophetis,qui conſcripſerunt quæ ſuis temporibus acciderunt, hiſtoriam transſcripſiſſe. Euidenter autem res Samaritanorum,qui nunc ſunt, deſcripſit, vnde ſint, & quomodo ex neceſſitate legem Moyſi cuſtodiuerint.

Non cognouerunt legem Dei terræ.] Suſpicabantur enim, Vniuerſi conditorem μερικὸν, particularem, id eſt, certo loco affixum eſſe.

CAP.

πρὸς τὰ ἔθνη συμφωνίαν οὕτω καλεῖν, καὶ τοὺς ὅσοι τούτους ἐδίδαξαν ἀσεβεῖν, ὡς ἑξῆς ἐπαινίττεται. καὶ ἐποίησαν Ἐφοὺδ, τὸ ταῖς μαντικαῖς ἁρμόττον προρρήσεσιν. καί γε καὶ Ἰούδας αὐτός· οὐκ ἄρα διὰ τὴν τῆς βασιλείας, ὡς ἄν τις εἴποι, διαίρεσιν, καὶ τὸ πόρρω γενέσθαι τῆς Ἱερουσαλήμ, ἠσέβησεν Ἰσραὴλ, ὅπου καὶ Ἰούδας αὐτός.

Καὶ ἀπῳκίσθη Ἰσραὴλ ἀπὸ τῆς γῆς αὐτοῦ εἰς Ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης.] Δηλοῖ καὶ τοῦτο, τὸν συγγραφέα μεταγενέστερον ἐκ τῶν προφητῶν, τῶν συγγραψάντων τὰ καθ' ἕκαστον καιρὸν, μεταλαβόντα τὴν ἱστορίαν. σαφῶς δὲ καὶ τὰ κατὰ τοὺς νῦν Σαμαρείτας ἐδήλωσεν, ὅθεν εἰσὶ, καὶ πῶς τὸν νόμον τὸν Μωϋσέως ἐξ ἀνάγκης ἐφύλαξαν.

Οὐκ ἔγνωσαν τὸν νόμον τοῦ θεοῦ τῆς γῆς.] Ἐτόπαζον γὰρ, μερικὸν εἶναι τῶν ὅλων τὸν ποιητήν.

ΚΕΦ. ΙΗ΄.

Τὸν ὄφιν τὸν χαλκοῦν, ὃν ἐποίησε Μωϋσῆς.] Οὐχ ἵνα προσκυνεῖται, ἀλλ' ἵνα προτυπώσῃ τὸ σωτήριον πάθος. τούτῳ, φησὶν, ὁ λαὸς θυμιῶν διετέλεσεν.

Καὶ ἔκλασεν αὐτὸν Ἐσθάν.] Ἐν τῇ ἑρμηνείᾳ τῶν Ἑβραϊκῶν ὀνομάτων κεῖται χαλκός. ἐντεῦθεν οἶμαι τοὺς ὀφίτας, (αἵρεσις δὲ αὕτη δυσσεβεστάτη,) Ἐσθηνοὺς ὀνομάζεσθαι.

Εἰς τέλος τριῶν ἐτῶν.] Ἔτη τρία τέλεια τῆς Σαμαρείας ἡ πολιορκία κατέσχεν.

Ἡμάρτηκα, ἀποστράφηθι ἀπ' ἐμοῦ.] Ἀχὰζ, ὁ πατὴρ Ἐζεκίου, τὸν Θαλλαφαλασὰρ εἰς συμμαχίαν κατὰ τῶν Σύρων καλέσας, φόρον τελέσειν ὑπέσχετο, καὶ τοῦτον ἐκεῖνος διετέλεσε παρέχων. ὁ δὲ Ἐζεκίας, τὸν ἐπικείμενον δασμὸν οὐκ ἐξέπεσε· τὴν δὲ στρατιὰν ἰδὼν, δώσειν ὑπέσχετο.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Cap. XVIII.

Serpentem æneum, quem fecit Moyſes.] Non, vt adoraretur; ſed, vt ſalutis ngeotium adumbraret. huic, inquit, populus perpetuo odores incendit.

Et confregit eum Esthan.] In interpretatione nominum Hebraicorum ponitur, æs. Hinc puto Ophitas (eſt autem impijſſima hæc hæreſis) Eſthenos vocari.

Ad finem trium annorum.] Tres continuos annos obſidio Samariæ durauit.

Peccaui, auertere à me.] Achaz, pater Ezechiæ, Theladphalaſar in auxilium contra Syros vocans, ſe illi tributum daturum promiſit, & perpetuo dedit. Ezechias autem, impoſitum tributum non perſoluit; cum autem apparatum bellicum videret, ſe perſoluturum promiſit.

Ianuas.

Ianuas templi Domini.] Non enim ſufficiebant theſauri regij, quare pro more aliquo, impellente neceſſitate, ad res ſacras conuertebatur, ne hoſtes vrbem, & templum, incenderent. Poſtquam verò vſi eſſent, poſtea reſtituere ex bellis ſolebant. Nunc etiam ianuas aureas, quas fecit, & cardines illarum, conflauit.

Nonne deſtruxit excelſa eius.] Hiſtoricus iterum ſignificat, quod non ſolum lucos dæmonum excelſa appellet, ſed etiam altaria, in excelſis locis Deo, Vniuerſi conditori, conſecrata.

Dixit ad Juda, & Hieruſalem.] Hæc Rapſaces dixit, quem veriſimile eſt Hebræum fuiſſe, &, vel ſponte ad Aſſyrios profugiſſe, vel bello captum eſſe; &, vt Aſſyrijs ſuam beneuolentiam oſtenderet, exercitum confirmaſſe. Hebraica enim lingua vſus, orationem habuit.

CAP.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Τὰς θύρας τοῦ ναοῦ κυρίου.] Οὐ γὰρ ἤρκουν οἱ βασιλικοὶ θησαυροὶ, ὅθεν ἐπὶ τοὺς ἱεροὺς κατὰ τὸ ἔθος δι᾽ ἀνάγκην ἐτράπετο, ἵνα μὴ καὶ τὸν ναὸν, καὶ τὴν πόλιν, ἐμπρήσωσιν οἱ πολέμιοι. μετὰ δὲ τὴν χρείαν, ἀναπληροῦν αὐτοὺς ἐκ τῶν πολέμων εἰώθεσαν. νυνὶ δὲ καὶ τὰς θύρας ἐχώνευσε τὰς χρυσᾶς, ἃς ἐποίησε, καὶ τοὺς τούτων σταθμούς.

Οὐκ ἀπέστησεν τὰ ὑψηλὰ αὐτοῦ.] Δηλοῖ πάλιν ὁ συγγραφεὺς, ὅτι οὐ μόνον τὰ τεμένη τῶν δαιμόνων ὀνομάζουσιν ὑψηλὰ, ἀλλὰ καὶ τὰ τῷ θεῷ τῶν ὅλων ἐν τοῖς ὑψηλοῖς τόποις δεδηλωμένα θυσιαστήρια.

Καὶ εἶπε τῷ Ἰούδα, καὶ τῇ Ἱερουσαλήμ.] Ταῦτα ἔλεγεν ὁ Ῥαψάκης, Ἑβραῖος ὢν, ὡς εἰκὸς, καὶ πρὸς ἐκείνους αὐτομολήσας, ἤτοι ἐξανδραποδισθεὶς, καὶ, ὡς εὔνοιαν δείξας τοῖς Ἀσσυρίοις, τὴν στρατιὰν θαῤῥηθείς. τῇ γὰρ Ἑβραΐδι χρώμενος, ἐποιεῖτο τοὺς λόγους.

ΚΕΦ. ΙΘ΄.

Οὐκ ἦλθον οἱ υἱοὶ ἕως ὠδίνων.] Φλεγόμεθα, φησι, τῷ θυμῷ, τῶν ἀῤῥήτων ἐκείνων βλασφημιῶν ἐπακούσαντες. κολάσαι δὲ τοὺς ἄνδρας ἐκείνους, τοὺς δυσσεβεῖς, οὐ δυνάμεθα. ὅθεν ἱκετεύομεν τὸν τῶν βλασφημιῶν ἐκείνων ἀκηκοότα θεὸν, διδάξαι τοὺς ἀνοσίους, ὡς οὐκ ἐστὶν εἷς τῶν καλουμένων θεῶν.

Ἰδοὺ, ἐγὼ δίδωμι πνεῦμα ἐν αὐτῷ.] Δειλίαν οἶμαι δηλοῦν. καὶ γὰρ ὁ θεῖος ἀπόστολος οὕτως ἔφη, οὐ γὰρ ἔδωκεν ἡμῖν πνεῦμα δειλίας.

Καὶ ἀπῆρε Σενναχειρίμ.] Ὁ Σενναχειρὶμ τὸν θάνατον τηνικαῦτα διέφυγεν, ἵνα πᾶσι μηνύσῃ, ὅση τοῦ θεοῦ Ἰουδαίων ἡ δύναμις. εὐθὺς δὲ παρὰ τῶν παίδων ἐδέξατο τὴν δικαίαν σφαγήν.

Τὴν Ἀραράτ.] Τὴν Ἀρμενίαν.

CAP. XIX.

Venerunt filij vſque ad dolores partus.] Vrimur, inquit, animo, audientes nefandas illas blaſphemias, cæterùm pœnas exigere ab impijs illis hominibus non poſſumus. Quare Deum, qui audiuit blaſphemias illas, oramus, vt prophanos illos doceat, ne vnicum quidem eſſe illorum, quos Deos appellant.

Ecce, ego do ſpiritum in eo.] Significans, puto, timorem. Diuus enim Apoſtolus inquit, non dedit nobis ſpiritum timoris.

Et Sennacherib diſceſſit.] Sennacherib tunc quidem mortem effugit, vt omnibus notum faceret, quanta virtus eſſet, & potentia, Dei Iudæorum. Mox verò à filijs iugulatus, iuſtas pœnas dedit.

Ararat.] Armeniam.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

CAP. XX.

Capientur omnia, quæ ſunt in domo tua.] Quia Dei potentiam, & curam, docere oportebat, oſtendit opes, quas conſequutus erat, nihil firmum habere, & ſtabile.

CAP. XXI.

Et fecit Manaſſes malum.] Manaſſes teſtatur, naturam in animatis non vincere, ſed voluntatem, & iudicium. Nam inſtitutum, & rationem vitæ, itémque adminiſtrandi rempublicã, qua pater vſus erat, relinquens, contrariam ſequutus eſt.

Omni exercitui cœli.] Soli, lunæ, & ſtellis.

Vt ſonent ambæ aures.] Intellige famam, quæ terrorem, & horrorem, adferat.

Menſuram Samariæ, & pondus domus Achabi.] Iiſdem illos etiam malis circumueniam. Vt illorum alios fames, alios bellum abſumpſit; reliqui verò in captiuitatem

ΚΕΦ. Κ΄.

Καὶ ἀρθήσονται πάντα τὰ ἐν τῷ οἴκῳ σου.] Ὅτι δέον τοῦ θεοῦ διδάξαι τὴν δύναμιν, καὶ τὴν κηδημονίαν, ἧς ἔτυχε, τὸν πλοῦτον ὑπέδειξε, τὸν οὐδὲν ἔχοντα μόνιμον.

ΚΕΦ. ΚΑ΄.

Καὶ ἐποίησε Μανασσῆς τὸ πονηρόν.] Ὅτι οὐ φύσις ἐν τοῖς ψυχικοῖς, ἀλλὰ γνώμη κρατεῖ, μαρτυρεῖ Μανασσῆς, τὴν εὐσεβῆ τοῦ πατρὸς πολιτείαν καταλιπὼν, καὶ τὴν ἐναντίαν ὁδεύσας.

Πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ.] Ἡλίῳ, καὶ σελήνῃ, καὶ ἀστράσιν.

Ἠχῆσαι ἀμφότερα τὰ ὦτα.] Ἐκπληκτικὴν ἡγεῖσθαι τὴν ἀκοήν.

Τὸ μέτρον Σαμαρείας, καὶ τὸν σταθμὸν οἴκου Ἀχαάβ.] Ταῖς αὐταῖς, καὶ τούτους περιβαλῶ συμφοραῖς. ὡς ἐκείνων τοὺς μὲν λιμὸς, τοὺς δὲ πόλεμος ἐδαπάνησεν· οἱ δὲ,

ληφθέντες ἀπήχθησαν. καὶ, ὡς τὸν οἶκον Ἀχαὰβ, πανωλεθρίᾳ παρέδωκα.

Καί γε αἷμα ἀθῶον ἐξέχεε Μανασσῆς.] Διαφερόντως γὰρ ἀνῄρει τοὺς τῆς δυσεβείας ἀντεχομένους, καὶ τοὺς τὴν θείαν ὀργὴν αὐτῷ προμηνύοντας. τοῦτόν φασι, καὶ τὸν προφήτην Ἡσαΐαν πρίονι διελεῖν. τοῦτον δέ φησιν ἐν Παραλειπομένοις, μεταμελείᾳ χρησάμενον, τυχεῖν τῆς ἀνακλήσεως.

ΚΕΦ. ΚΒʹ.

Βιβλίον εὗρον.] Τοῦ Δευτερονομίου.

ΚΕΦ. ΚΓʹ.

Καὶ τοῖς Μαζουρώθ.] Ἀστέρος ὄνομα. ὡς εἰκὸς, τοῦ ἑωσφόρου.

Τὸν οἶκον τὸν Καδησίν.] Ὁμωνύμως ἐκάλεσεν ἁγίους τοὺς δαίμονας. κάδης γὰρ, τὸ ἅγιον. τὸ δὲ ἄλσος, ὡς εἴρηται, οἱ λοιποὶ Ἀσηρὼθ ἢ Ἀσαρὼθ ἑρμηνεύουσιν, ὃ τὴν Ἀστάρτην δηλοῖ. τῆς δὲ Ἀφροδίτης τὸ ξόανον

tiuitatem abducti ſunt. Et, quemadmodũ domum Achab, funditus eos deleui.

Sanguinem enim innocentem effundit Manaſſes.] Illos enim maximè è medio tollebat, qui ſeſe impietati opponerent, & iram diuinam ei denunciarent. Hunc aiunt, Eſaiam quoque prophetam ſerra ſecuiſſe. Manaſſem verò dicit liber Paralipomenôn, cum pœnitentiam ageret, reſtitutum eſſe.

CAP. XXII.

Librum inueni.] Deuteronomion.

CAP. XXIII.

Maſouroth.] Stellæ nomen eſt, nimirum luciferi.

Domum Cadeſim.] Aequiuocè dæmonas ſanctos appellauit. Cadeſch enim, ſanctum ſignificat. lucum verò, vt dictum eſt, reliqui Aſeroth, vel Aſtaroth exponunt, quod Aſtarthen ſignificat. Veneris autem ſtatuam intus in Dei templo

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

plo conſtituerunt. Illud verò,in quo mulieres texebant, Aquila ſic interpretatus eſt; vbi indumenta faciebant illis, qui à Domino fornicati eſſent.

Sed ſacerdotes excelſorum ad altare Dei non aſcenderunt.] Excelſa iterum non appellauit altaria idolorum,ſed Dei,quæ in excelſis erant conſtructa. Illos verò, qui ex proſapia ſacerdotali erant, ad altare Domini, quod Hieroſolymis erat, aſcendere non permiſit,niſi azyma comediſſent. Quod ſi idolis ſacrificaſſent, non vtique pius rex ignouiſſet ipſis.

Et contaminauit Apheth.] Secundum Hebraicam interpretationem,caſum ſignificat. Locus verò erat, vbi pueros per ignem traducebant Melchol idolo Ammonitarum. Pharuri verò, cuſtodis, (τοῦ φρουροῦ) reddidit Symmachus.

Ameſſaoth.] Interitus.

Et

ἔνδον ἔστησαν ἐν τῷ θείῳ νεῷ. Τὸ δὲ, ἐν ᾧ αἱ γυναῖκες ὕφαινον, Ἀκύλας οὕτως ἑρμήνευσεν, οὗ ἐποίουν ἐνδύματα τοῖς ἐκπορνεύουσιν ἀπὸ κυρίου.

Πλὴν οὐκ ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυσιαστήριον τοῦ κυρίου. Ὑψηλὰ πάλιν οὐ τὰ τῶν εἰδώλων, ἀλλὰ τὰ τοῦ θεοῦ θυσιαστήρια κέκληκε, τὰ ἐν τοῖς ὑψηλοῖς. τοὺς ἐξ ἱερατικοῦ δὲ γένους οὐκ ἀφῆκεν εἰς τὸ θυσιαστήριον ἀνελθεῖν τοῦ κυρίου, τὸ ἐν Ἱερουσαλὴμ, εἰ μὴ ἔφαγον ἄζυμα. εἰ δὲ τοῖς εἰδώλοις ἐλάτρευσαν, οὐκ ἂν αὐτοὺς ὁ εὐσεβὴς βασιλεὺς συγγνώμης ἠξίωσεν.

Καὶ ἐμίανε τὸ Ἀφέθ'] Κατὰ τὴν Ἑβραϊκὴν ἑρμηνείαν, πλῶσιν σημαίνει. Τόπος δὲ ἦν, ἐν ᾧ διῆγον ἐν τῷ πυρὶ τὰ παιδία τῷ Μελχὸλ, Ἀμανιτῶν εἰδώλῳ. Τὸ δὲ Φαρουρὶ, τοῦ Φρουροῦ παρέδωκαν οἱ περὶ Σύμμαχον.

Ἀμεσσοάθ.] Ἀφανισμοῦ.

Καὶ διεσώθη τὰ ὀστᾶ τοῦ προφήτου τοῦ πρεσβυτέρου.] Οὐκ ἄρα ψευδοπροφήτης ὑπῆρχεν. οὐ γὰρ ἂν αὐτοῦ τὰ ὀστᾶ διεσώθη.

Ὅμοιος αὐτῷ οὐκ ἐγένετο βασιλεύς.] Ταῦτα καὶ περὶ Ἐζεκίου προεῖπεν, καὶ ὅτι μετ᾽ αὐτὸν οὐκ ἀνέστη τοιοῦτος. εἰ δὲ νῦν πρὸ αὐτοῦ προτάττει τὸν Ἰωσίαν, δῆλον ὅτι καὶ Ἐζεκίου, καὶ τοῦ Δαβίδ, ἀμφοτέρους. νῦν οὖν οὐκ ἀλλήλοις τούτους συνέκρινεν, ἀλλὰ τοῖς ἄλλοις, τοῖς δόξασιν εὐσεβεῖν, τῷ Ἀσὰ, καὶ τῷ Ἰωσαφάτ, καὶ τῷ Ἰωαθάμ.

Ἀχὰζ τὸν υἱὸν Ἰωσίου.] Τὰ κατὰ τὸν Ἀχὰζ, καὶ τὸν Ἰωακίμ, καὶ τὸν Ἰεχονίαν, καὶ Σεδεκίαν, πλατύτερον Ἰερεμίας συνέγραψεν. τὸν δὲ Ἰωακὶμ, τὸν τοῦ Ἰωακὶμ υἱὸν, Ἰεχονίαν καλεῖ. ἡ δὲ τῶν Παραλειπομένων βίβλος Ἰωακίμ. τοῦτον ὁ Ἀσύριος, τῆς εἱρκτῆς ἀπαλλάξας, ὁμοδίαιτον εἶχεν, τοῦ πλήξαντος αὐτὸν ἰασαμένου θεοῦ.

ΠΡΟΚΟ-

Et ſeruata ſunt oſſa prophetæ ſenioris.] Non utique pſeudopropheta fuit, neque enim aliàs oſſa ipſius conſeruata eſſent.

Similis ei rex non fuit.] Hæc etiam de Ezechia ſuprà dixit, quod poſt ipſum talis non ſurrexit. Cum vero nunc Ioſiam illi præferat, & anteponat, manifeſtum eſt, eum utique & Ezechiæ, & Dauidi, præponi. Non igitur illos inter ſe nunc contulit, ſed cum alijs, qui pro pijs habiti ſunt, veluti cum Aſa, Ioſaphat, & Ionathan.

Achas filium Ioſiæ.] Res Achas, Ioiakim, Iechoniæ, & Sedechiæ, uberius Ieremias deſcripſit. Ioiachim verò, Ioachimi filium, Iechoniam appellat: liber verò Paralip. Ioachim. Hunc Aſſyrius, è carcere liberatum, commenſalem habuit, Domino, à quo percuſſus erat, eum reſtituente in integrum.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

PROCOPII GAZÆI

In

PARALIPOMENA

Scholia.

LVDOVICO LAVATERO, & HARTMANNO HAMBERGERO, Interpretibus.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

ΠΡΟΚΟΠΙΟΥ

Γαζαίου σοφιστοῦ εἰς τὴν πρώτην τῶν Παραλειπομένων Σχόλια.

ΠΡΟΟΙΜΙΟΝ.

Ὅσα παρέλειπεν ὁ τὰς Βασιλείας συγγεγραφὼς, ταῦτα συντέθεικεν ὁ τὴν παροῦσαν ὑπόθεσιν ἐνστησάμενος. ὡς καὶ τοὔνομα τοῦ βιβλίου δηλοῖ, ἅπερ ἐκ πλείστων προφητικῶν συνελέξατο. πολλὰ δὲ καὶ τῶν ἐν ταῖς Βασιλείαις τούτοις συνήρμοσε, μίαν συνέχειαν φυλάττειν ἐσπουδακώς. ἄνωθεν δὲ γενεαλογεῖ τὴν πᾶσαν ἐξ ἑνὸς δεικνὺς ἀνθρωπότητα. ἐπειδὴ δὲ μόνης τῆς Ἰούδα βασιλείας ποιεῖται τὴν μνήμην, διδάσκει, τίνες τούτων αἱ κῶμαι, καὶ πόλεις, καὶ πόθεν ἐκλήθησαν. ἐντεῦθεν μανθάνομεν, ὡς Να-

PROCOPII GAZÆI SOPHISTÆ IN PRIMVM LIBRVM PARALIpomenôn Scholia.

PROOEMIVM.

AVthor, qui præſens argumentum tractandum ſuſcepit, ea, quæ à ſcriptore hiſtoriæ Regum prætermiſſa ſunt, his libris perſequitur. Id quod titulus libri etiam oſtendit. Cæterum hæc ex multis prophetarum ſcriptis collegit. Multa quoque, quæ in libris Regum leguntur, his coniunxit. Dedit enim operam, ut continuam, & perpetuam, hiſtoriæ ſeriem conſeruaret. Porrò ſupra repetens genealogiam, ex uno homine totum genus humanum deducit. Et, cum regni Iuda tantum mentionem faciat, docet, quos pagos, & quas urbes, habeat; & unde nomen acceperint. Diſcimus hinc, Nathan,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

than, ex quo Lucas Genealogiam Chriſti deducit, fuiſſe germanum fratrem Salomonis, ex Dauide & Bethſabea. Et Rechab, quem ſcriptura paſſim celebrat, ex tribu Iuda fuiſſe oſtendit. Ad hæc Ruben, eò quod patris lectum inceſtu contaminaſſet, ius primogenituræ amiſiſſe; Ioſeph verò, ipſius loco, accepiſſe docetur. Item Iudæ honorem principatus, propter excellentem ſuam virtutem, habitum eſſe. Maximè verò propter Seruatorem, qui ex eo ſecundum carnem deſcendit. Id his verbis declaratur, *in ducem ex ipſo*. Reliqui enim, temporarij fuerunt; hic verò, ex ipſo deſcendit: qui ſolus ſeculorum rex eſt. Docet etiam, quomodo tribus, quæ ultra Iordanem ſunt, in ſolo Deo ſpei præſidio poſito, alienigenas vicerint. Catalogum recenſet generis ſacerdotum, & Leuitarum. Sadocum, qui regnante Dauide ſummum pontificatum geſſit, oſtendit undecimum ab Aarone fuiſſe, & Sadoci nepotem Azariam primum ſacerdo-

θάν, ἐξ οὗ τὸν Χριστὸν Λουκᾶς γενεαλογεῖ, γνήσιος ἦν ἀδελφὸς Σολομῶντος, ἐκ Δαβὶδ καὶ Βηρσαβαιέ. καὶ τὸν Ῥηχὰβ δὲ, τὸν πολλαχοῦ τῆς γραφῆς ἐπαινούμενον, ὧδε δείκνυσιν ἐκ τῆς Ἰούδα φυλῆς. λέγει δὲ καὶ Ῥουβὴν τῶν πρωτοτοκείων ἐκπεπτωκέναι, τοῦ πατρὸς τὴν κοίτην μιάναντα· ταῦτα δὲ τὸν Ἰωσὴφ εἰληφέναι. τὸν δὲ Ἰούδαν εἰς ἡγεμονίαν προτιμηθῆναι, διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ δύναμιν. μάλιστα δὲ, διὰ τὸν ἐξ αὐτοῦ κατὰ σάρκα βλαστήσαντα κύριον. τοῦτο γὰρ δηλοῖ τὸ, εἰς ἡγούμενον ἐξ αὐτοῦ. οἱ μὲν γὰρ ἄλλοι, πρόσκαιροι· οὗτος δὲ, μόνος ἐξ αὐτοῦ προῆλθεν, αἰώνιος ὢν βασιλεύς. διδάσκει δὲ καὶ ὡς αἱ πέραν Ἰορδάνου φυλαὶ τοὺς ἀλλοφύλους ἐνίκησαν, εἰς θεὸν καὶ μόνον ἐλπίσασαι. γενεαλογεῖ δὲ καὶ τοὺς ἱερέας, καὶ τοὺς Λευΐτας· καὶ Σαδδοὺκ, τὸν ἐπὶ τοῦ Δαβὶδ ἀρχιερατεύσαντα, δείκνυσιν ἑνδέκατον ἀπὸ Ἀαρών· καὶ τὸν Σαδδοὺκ ἔκγονον Ἀζαρείου

πρῶτον ἱερατεῦσαι, μετὰ τὴν ὑπὸ Σολομῶντος κατασκευὴν τοῦ ναοῦ. ἐξ ὧν ἦν Ἰωσεδὲκ, ὁ μετὰ τὴν ἅλωσιν ἀπαχθεὶς εἰς Βαβυλῶνα. οὗπερ ἦν υἱὸς Ἰησοῦς, ὁ ἱερεὺς ὁ μέγας, ὁ τοὺς αἰχμαλώτους σὺν τῷ Σοροβάβελ ἀναγαγών. ἐντεῦθεν μανθάνομεν, ὡς ὁ ἐπαναστὰς Κορὲ τῷ Μωϋσεῖ ἀνεψιαδοῦς ὑπῆρχεν αὐτῷ, τοῦ Ἰσαὰρ ἔκγονος, υἱοῦ μὲν Καὰθ, ἀδελφοῦ δὲ Ἀμερὰμ, τοῦ Μωϋσέως πατρός. καὶ ὡς οἱ τούτου παῖδες τῆς τοῦ πατρὸς οὐ μετεσχήκασι δίκης. Σαμουὴλ γοῦν ὁ μέγας ἐξ αὐτοῦ κατάγει τὸ γένος, καὶ Αἱμὰν ὁ ψαλτῳδὸς ἔκγονος ἦν Σαμουήλ. υἱὸς γὰρ ἦν Ἰωὴλ τοῦ υἱοῦ Σαμουήλ. Ἀζὰφ δὲ ὁ ψαλτῳδὸς ἐκ τοῦ Γεδσὼμ κατῆγε τὸ γένος, υἱοῦ Λευὶ, ἀδελφοῦ Καάθ. καὶ Ἐθὰμ δὲ, τῶν ᾀδόντων εἷς, ἐκ τοῦ Μεραρὶ, τοῦ Λευὶ, κατῆγε τὸ γένος. λέγει δὲ καὶ ἱερέων, καὶ Λευιτῶν, τὸ διάφορον. λέγει δὲ καὶ τῆς αἰχμαλωσίας τὴν αἰτίαν ὁ συγγραφεὺς, ὡς ἂν μετ' ἐκείνην γενόμενος.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

cerdotis munus obiuiſſe, poſtquam templum à Salomone fuiſſet extructum. ex quibus etiam Ioſedek erat, qui, capta urbe, Babylonem abductus eſt. Huius filius fuit Ieſus, ſummus pontifex, qui captiuos una cum Zorobabele reduxit. Hinc colligimus, ſeditioſum Core patruelem Moyſis fuiſſe, filium Iſaari, filij Caath, fratris verò Amram, patris Moyſis. Item filios ipſius, paternæ pœnæ non fuiſſe participes. Magnus enim ille propheta Samuel ab hoc genus ducit, & Hemam pſaltes nepos fuit Samuelis, filius Ioelis, filij Samuelis. Aſaph verò cantor ex Gerſon, filio Leui, fratre Caath, genus duxit. Etham etiam, unus ex cantoribus, ex Merari, Leui filio, deſcendit. Ponit etiam ſacerdotum, & Leuitarum, diſcrimen. Præterea hiſtoricus captiuitatis cauſas deſcribit, nam poſt captiuitatem

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

floruit. In hiſtorijs enim rerum futurarum narratio non reperitur. Docet etiam, quomodo illi, qui cum ipſis verſabantur, Palęſtinorum captiui fuerint. Docet, quomodo alienigenæ, Iſraeliticis cohabitantes, armis eorum oppreſſi ſint. Pariter autem ſacerdotes, Leuitas, & Nathinęos, ut par erat, deo miniſtraſſe ſcribit. Multi enim ex alijs etiam tribubus ſeipſos ſacerdotum, & Leuitarum, miniſterio addixerunt, geſtantes aquam, & cædentes ligua. Si enim Gabaonitæ, quanta magis ipſi? Vox autem illa Nathinæi àpud Hebręos Dei donum exponitur. Dicit autem incolas etiam fuiſſe Hieroſol. ex Iuda, Beniamin, Ephraim, Manaſſe, & Leui. Corenos verò, Coræ filios, & nepotes, appellat; ex quibus à Dauide, & Samuele, ianitores dicit eſſe conſtitutos. In quarto tabernaculi mentio facta eſt, eò quod templum nondum eſſet conſtructum. Oſtendit etiam, per hebdomadas dierum vices factas eſſe. Vaſa autem miniſterij alijs concredita erant; item omnia inanimata, quæcunque

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

νος. ἐν ἱστορίαις γὰρ οὐκ ἔστιν εὑρεῖν τὴν μελλόντων ἀφήγησιν. διδάσκει δὲ καί, ὡς οἱ συνοικήσαντες αὐτοῖς τῶν ἀλλοφύλων γεγόνασι δορυάλωτοι. ὁμοίως δὲ καὶ ἱερεῖς, Λευῖται, καὶ Ναθιναῖοι, οὓς εἰκὸς ἱεροδούλους ὑπάρχειν. πολλοὶ γὰρ αὐτοὺς καὶ τῶν ἄλλων φυλῶν ἀφιέρουν εἰς τὰς ἱερέων, καὶ Λευιτῶν, ὑπουργίας· ὑδροφόροι, καὶ ξυλοκόποι, γινόμενοι. εἰ γὰρ οἱ Γαβαωνῖται, πόσῳ μᾶλλον αὐτοί; τὸ Ναθιναῖοι δέ, παρ' Ἑβραίοις θεοῦ δόσις ἑρμηνεύεται. λέγει δὲ καὶ τοὺς οἰκήτορας Ἱερουσαλὴμ ἐξ Ἰούδα, καὶ Βενιαμίν, καὶ Ἐφραίμ, καὶ Μανασσῆ, καὶ Λευί. Κορηνοὺς δέ, τοῦ Κορὲ τοὺς ἀπογόνους καλεῖ. ἐξ ὧν φησι πυλωροὺς ὑπὸ Δαβὶδ γεγονέναι, καὶ τοῦ Ζαμουήλ. ἐν τοῖς δ' ἐμνήσθη τῆς σκηνῆς. οὔπω γὰρ ἦν οἰκοδομηθεὶς ὁ νεώς. δηλοῖ δὲ καὶ τὰς ἐφημερίας, δι' ἑβδομάδος ἡμερῶν γινομένας. τὰ δὲ σκεύη τῆς λειτουργίας ἄλλοι, φησιν, ἐπιστεύοντο· καὶ ὅσα τῶν ἀψύχων τῷ βωμῷ προσ-

ἐφέρετο. καὶ ὡς ἱερεῖς κατεσκεύαζον τὸ θυ-
μίαμα. καὶ τὰ περὶ τοῦ τάφου Σαοὺλ σαφέ-
στερον ἐνταῦθα συγγέγραπται. ὡς ἐτέθη
ὑπὸ τὴν δρῦν Ἰαβείς. ὑπὸ τὴν ἄρουραν
γὰρ Ἰάβεὶς, ἐν Βασιλείαις φησίν. καὶ τὰ τῆς
ἐγγαστριμύθου. ἀπεκρίνατο γὰρ αὐτῷ, φησὶ,
Σαμουὴλ ὁ προφήτης. τοῦ θεοῦ γενέσθαι δῆ-
λον ὅτι ποιήσαντος, ὃ κατὰ γοητείαν ἐκεῖ-
νος ἐζήτησεν. τὴν οὖν τοιαύτην ὄψιν, Σα-
μουὴλ ἐκάλεσεν ἡ γραφή· παρ᾽ οὗ καὶ μα-
θεῖν ἐζήτησεν ὁ Σαοὺλ, εἴ τέ τινος ἀγγέλου
δεικνύντος τὸ σχῆμα, εἴ τε τῆς τοῦ προφή-
του ψυχῆς· τοῦ θεοῦ τῇ ἐγγαστριμύθῳ τὸ
μέλλον δηλώσαντος. ὡς τῷ Φαραὼ τὴν
εὐθηνίαν, καὶ τὸν λιμόν· καὶ τῷ Ναβουχοδο-
νόσορ, τὰς γενικὰς βασιλείας τῆς γῆς.

ΚΕΦ. ΙΑ΄.

καὶ κύριος παντοκράτωρ μετ᾽ αὐτοῦ.] θεὸν παντοκράτορα τὸ πανάγιον ἐκάλεσε πνεῦμα.

cunque afferebantur ad altare. Vtque ſacerdotes præpararint ſuffitum. Sepultura quoque Saulis planius hic deſcripta eſt: ut poſitus ſit ſub quercu Iabes. Nam ſub aruo in Iabes, legitur in libris Regum. Item de ventriloqua. Reſpondit enim ei, inquit, Samuel propheta. Manifeſtum eſt, Deo ita procurante id factum eſſe, quod Saul per præſtigia quæſiuit. Talem igitur viſionem, Samuelem appellauit ſcriptura; ex quo cognoſcere futura cupiuit Saul. ſiue quidam angelus formam illam oſtenderit, ſiue Deus per animam prophetæ ventriloquæ res futuras aperuerit. quemadmodum Pharaoni, fertilitatem, & famem; & Nabuchodonoſori, ſucceſſionem imperiorum mundi.

CAP. XI.

Dominus omnipotens erat cum eo.] Sanctum ſpiritum appellauit Deum omnipotentem.

Quin-

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Quinque cubitorum.] Quidam homines ingenti certè corporis magnitudine fuerunt.

CAP. XII.

Adur Amelechitarum.] Vbi in libris Regum poſuit σύςρεμμα, nunc ponit σύςημα, id eſt, turma.

Qui cognoſcunt prudentiam.] Propter ſapientiam illos admiratus eſt, & eo quod futura, non quidem per prophetiam, ſed prudentiam, & uſum rerum, intelligerent.

CAP. XIII.

Et Dominus ira commotus eſt.] Leuitæ enim non licebat arcam attingere: id metuens Dauid, non in regiam domum, ſed in domum Obededom, introduxit. Dominus verò, oſtendens ſe neſcire diſcrimen inter alienigenam & Iſraelitam, ſed ſolam animi pietatem quærere, varijs eum præmijs affecit. Quod cum vidiſſet David,

arcam

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

πενταπήχη.] ὑπερμεγέθεις ἄρα τινες γεγόνασιν ἄνθρωποι

ΚΕΦ. ΙΒ΄.

τὰ Ἀδοὺρ τῶν Ἀμαληκιτῶν.] τὸ σύστημα, ὅπερ ἐν Βασιλείαις εἴρηται σύστρεμμα.

γινώσκοντες σύνεσιν εἰς τοὺς καιροὺς αὐτῶν.] ἐπὶ σοφίᾳ τούτους ἐθαύμασε, καὶ τῷ προβλέπειν, οὐ προφητικῶς, ἀλλὰ συνετῶς.

ΚΕΦ. ΙΓ΄.

καὶ ἐθυμώθη ὀργῇ κύριος ἐπὶ Ὀζά.] Λευίτῃ γὰρ οὐκ ἐξῆν ἅψασθαι τῆς κιβωτοῦ. ὁ δείσας ὁ Δαβίδ, εἰς τὸν βασίλειον αὐτὴν οὐκ εἰσήγαγεν οἶκον, ἀλλ᾽ εἰς τὸν τοῦ Ἀβεδδαδά. θεὸς δὲ, δεικνὺς, ὡς οὐκ οἶδε διαφορὰν Ἰσραηλιτῶν καὶ ἀλλοφύλου, ζητεῖ δὲ μόνην εὐσέβειαν, ἐπέκλυσεν αὐτὸν παντοδαπαῖς δωρεαῖς. ὁ θεασάμενος ὁ Δαβίδ,

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

εἰς τὰ βασίλεια ταύτην εἰσήγαγεν, οὐ δι᾽ ἁμάξης· ἀλλὰ, κατὰ τὸν νόμον, διὰ τῶν ἱερέων.

ΚΕΦ. ΙΕʹ.

καὶ ἐπὶ Δαβὶδ ἐφοὺδ μόνον.] καὶ μὴν οὐκ ἦν ἱερεύς. ὁ μὲν οὖν Ἀκύλας ἡρμήνευσεν, ἐπένδυμα. Σύμμαχος δὲ, ἐπωμίδα. ἀλλὰ ταῦτα καὶ ἱερατικὰ ἦν, καὶ κοινά. θεοσεβὴς οὖν ὢν ὁ Δαβὶδ, ἐχόρευε περὶ τῆς κιβωτοῦ· τὸ δὲ βασιλικὸν ἀποθέμενος σχῆμα, μόνην δὲ φορῶν ἐπωμίδα κοινὴν, ἣν νῦν καλοῦσιν Ἀρκαδικήν. πῶς γὰρ ἂν, θεοσεβὴς ὑπάρχων, παρέβη τὸν νόμον;

ΚΕΦ. Ιϛʹ.

χελχὰλ ἄρτου.[ἐν ταῖς Βασιλείαις κολλυρίδα φησί.

τότε ἔταξε Δαβὶδ ἐν ἀρχῇ τοῦ αἰνεῖν τὸν κύριον ἐν χειρὶ Ἀζὰφ, καὶ τῶν ἀδελφῶν αὐτοῦ.]

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

arcam inregiam, non plauſtro, ſed, iuxta legis præſcriptum, ſacerdotum opera tranſtulit.

CAP. XV.

Dauid ſolo ephod indutus erat.] Atqui ſacerdos non erat. Aquila ἐπένδυμα interpretatus eſt; Symmachus verò, ἐπωμίδα. Cæterùm hæc & ſacerdotalia, & communia, erant. Dauid itaque, ut qui religioſus erat, ſaltauit ante arcam, regio habitu depoſito, ſolam epomidem communem geſtauit, quam nunc Arcadicam appellant. Cur enim, pius cum fuerit, legem tranſgreſſus eſſet?

CAP. XVI.

Chelchal, tortam, panis.] In libro Regum κολλυρίδα dicit.

Tunc inſtituit Dauid in principio laudandi Dominum in manu Aſaph, & fratrum eius.]

 Hoc

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

Hoc eſt, illis præeuntibus. Innuit autem, ut omnes pſalmos Dauidis aggreſſi ſint: id enim declarat, quod dicit, in manu. Pſalmos autem perpetuo tractabant, ſucceſſione labores leuantes. In Gabaon autem erat tabernaculum, quapropter Zadok ibidem ſacrificia obtulit. Quomodo igitur Dauid in area Ornam altare conſtruxit, cum arca illic non eſſet? Veruntamen propter pœnam populi ad placandum Deum impulſus eſt. Hinc habet hiſtoria: & non potuit Dauid ire ante eum ad conſulendum Deum, quia feſtinauit à facie gladij angeli Domini. Quamobrem etiam locum ſacrificij templum deſignauit. Quod ei gratum acceptumque eſſe, ignis è cœlo, ſacrificium abſumens, & deuorans, oſtendit.

Early European Books, Copyright © 2011 ProQuest LLC.
Images reproduced by courtesy of Koninklijke Bibliotheek, Den Haag.
231 N 26

